LAL 150-381

381

# OCRATIS AEGINETICUS (XIX),
ET
# ISAEI ORATIO DE CIRONIS HEREDITATE (VIII).

IN USUM SCHOLARUM

EDIDIT

H. J. NASSAU NOORDEWIER.

TRAIECTI AD RHENUM,
APUD KEMINK & FIL.
MDCCCLXXXVI.

Vak 150

ISOCRA

ISAI

II

H. J.

VAK 150 No. 301

# OCRATIS AEGINETICUS (XIX),
ET
# ISAEI ORATIO DE CIRONIS HEREDITATE (VIII).

IN USUM SCHOLARUM

EDIDIT

H. J. NASSAU NOORDEWIER.

Bibliotheek
MINDERBROEDERS
WEERT.

TRAIECTI AD RHENUM,
APUD KEMINK & FIL.
MDCCCLXXXVI.

CORNELIO GUILIELMO OPZOOMER,

VIRO CLARISSIMO, OPTIMO,

DIEM FESTUM AGENTI

HUNC LIBELLUM

D. D. D.

AUCTOR.

ISOCRATIS AEGINETICUS (XIX),

ET

ISAEI ORATIO DE CIRONIS HEREDITATE (VIII).

# ΙΣΟΚΡΑΤΟΥΣ ΑΙΓΙΝΗΤΙΚΟΣ.

---

Haec oratio ita inscripta esse videtur, quia res acta est Aeginae. Actor est Siphnius quidam, nobili genere ortus, qui hereditatem adeptus est Thrasylochi, postquam iam antea ab illo adoptatus est sororemque eius duxit uxorem. Thrasylochi vero soror ὁμοπατρία testamentum cassare conatur contendens se esse sororem ideoque κάτ' ἀγχιστείαν heredem esse oportere. Sunt nonnulli πράττοντες ὑπὲρ αὐτῆς. Actor probare studet se iure heredem factum esse quum ob alias causas tum quod optime meritus esset de Thrasylocho, quem omnibus modis iuvisse et aegrotantem curasse enarrat, sororem vero testatori semper invisam fuisse. Thrasylochi pater fuit Thrasyllus; qui πλάνης γενόμενος καὶ διαιτηθεὶς ἐν πολλαῖς πόλεσιν aliquamdiu cum matre petentis vixit. Eam fuisse illius pellicem

indicat, non probat actor. Thrasyllus autem denique in patriam Siphnum rediit et uxorem duxit sororem patris actoris, deinde hac mortua illius neptem coniugem fecit. Quibus mulieribus mortuis ἄπαισι, liberos quaesivit hic Thrasyllus θρασύτατος e matrona Seriphia quae ei peperit duos filios, Sopolem et Thrasylochum et filiam quae uxor facta est actoris.

Θράσυλλος — τούτους μόνους παῖδας γνησίους καταλιπὼν καὶ κληρονόμους τῶν αὑτοῦ καταστήσας τὸν βίον ἐτελεύτησεν.

Sopolis ante Thrasylochum mortuus est.

---

Non satis liquet, quo iure nisa sit soror Thrasylochi neque quae vitae ratio fuerit inter illius matrem et Thrasyllum, nam secundum leges saltem Atheniensium γέγραπται .... νόθῳ μηδὲ νόθῃ (μὴ) [1]) εἶναι ἀγχιστείαν μήθ' ἱερῶν μήθ' ὁσίων ἀπ' Εὐκλείδου ἄρχοντος. Vid. Isaei or. VI, 47, sq.

Suspicari licet petentem conatam esse probare suam matrem fuisse uxorem legitimam Thrasylli.

Actor enim inprimis urget τὸ δίκαιον, quod iudices Graeci non minus spectare solebant quam τὸ νόμιμον.

1) Μή addit Sauppe.

---

# ΑΙΓΙΝΗΤΙΚΟΣ.

Ἐνόμιζον μὲν, ὦ ἄνδρες Αἰγινῆται, οὕτω καλῶς βεβουλεῦσθαι περὶ τῶν αὑτοῦ Θρασύλοχον ὥστε μηδέν' ἄν ποτ' ἐλθεῖν ἐναντία πράξοντα ταῖς διαθήκαις αἷς ἐκεῖνος κατέλιπεν· ἐπειδὴ δὲ τοῖς ἀντιδίκοις τοιαύτη γνώμη παρέστηκεν ὥστε καὶ πρὸς οὕτως ἐχούσας αὐτὰς ἀμφισβητεῖν, ἀναγκαίως ἔχει παρ' ὑμῶν πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. τοὐναντίον δὲ πέπονθα τοῖς πλείστοις τῶν ἀνθρώπων. τοὺς μὲν γὰρ ἄλλους ὁρῶ χαλεπῶς φέροντας, ὅταν ἀδίκως περί τινος κινδυνεύωσιν, ἐγὼ δ' ὀλίγου δέω χάριν ἔχειν τούτοις, ὅτι μ' εἰς τουτονὶ τὸν ἀγῶνα κατέστησαν. ἀκρίτου μὲν γὰρ ὄντος τοῦ πράγματος οὐκ ἂν ἠπίστασθ' ὁποῖός τις γεγενημένος περὶ τὸν τετελευτηκότα κληρονόμος εἰμὶ τῶν ἐκείνου· πυθόμενοι δὲ τὰ πραχθέντα πάντες εἴσεσθ' ὅτι δικαίως ἂν καὶ μείζονος ἢ τοσαύτης δωρεᾶς ἠξιώθην. χρῆν μέντοι καὶ τὴν ἀμφισβητοῦσαν τῶν χρημάτων μὴ παρ' ὑμῶν πειρᾶσθαι λαμβάνειν τὴν οὐσίαν, ἣν Θρασύλοχος κατέλιπεν, ἀλλὰ περὶ ἐκεῖνον χρηστὴν οὖσαν οὕτως ἀξιοῦν αὐτῆς ἐπιδικάζεσθαι. νῦν δ' αὐτῇ τοσούτου δεῖ μεταμέλειν ὧν εἰς

ζῶντ' ἐξήμαρτεν, ὥστε καὶ τεθνεῶτος αὐτοῦ πειρᾶται
τήν τε διαθήκην ἄκυρον ἅμα καὶ τὸν οἶκον ἔρημον ποιῆσαι.
4 θαυμάζω δὲ καὶ τῶν πραττόντων ὑπὲρ αὐτῆς, εἰ διὰ
τοῦτ' οἴονται καλὸν εἶναι τὸν κίνδυνον, ὅτι μὴ κατορθώ-
σαντες οὐδὲν μέλλουσιν ἀποτίσειν. ἐγὼ μὲν γὰρ ἡγοῦμαι
μεγάλην εἶναι καὶ ταύτην ζημίαν, ἂν ἐξελεγχθέντες,
ὡς ἀδίκως ἀμφισβητοῦσιν, ἔπειθ' ὑμῖν δόξωσι χείρους εἶναι.
τὴν μὲν οὖν τούτων κακίαν ἐξ αὐτῶν τῶν ἔργων γνώσεσθ',
ἐπειδὰν διὰ τέλους ἀκούσητε τῶν πεπραγμένων· ὅθεν δ'
οἶμαι τάχιστ' ἂν ὑμᾶς μαθεῖν περὶ ὧν ἀμφισβητοῦμεν,
ἐντεῦθεν ἄρξομαι διηγεῖσθαι.

5 (β'.) Θράσυλλος γὰρ ὁ πατὴρ τοῦ καταλιπόντος τὴν
διαθήκην παρὰ μὲν τῶν προγόνων οὐδεμίαν οὐσίαν παρέ-
λαβεν, ξένος δὲ Πολεμαινέτῳ τῷ μάντει γενόμενος οὕτως
οἰκείως διετέθη πρὸς αὐτὸν, ὥστ' ἀποθνήσκων ἐκεῖνος τάς
τε βίβλους τὰς περὶ τῆς μαντικῆς αὐτῷ κατέλιπε καὶ
6 τῆς οὐσίας μέρος τι τῆς νῦν οὔσης ἔδωκεν. λαβὼν δὲ
Θράσυλλος ταύτας ἀφορμὰς ἐχρῆτο τῇ τέχνῃ· πλάνης
δὲ γενόμενος καὶ διαιτηθεὶς ἐν πολλαῖς πόλεσιν ἄλλαις
τε γυναιξὶ συνεγένετο, ὧν ἔνιαι καὶ παιδάρι' ἀπέδειξαν,
ἃκεῖνος οὐδὲ πώποτε γνήσι' ἐνόμισε, καὶ δὴ καὶ τὴν
7 ταύτης μητέρ' ἐν τούτοις χρόνοις ἔλαβεν. ἐπειδὴ δ' οὐσίαν
τε πολλὴν ἐκτήσατο καὶ τὴν πατρίδ' ἐπόθεσεν, ἐκείνης
μὲν καὶ τῶν ἄλλων ἀπηλλάγη, καταπλεύσας δ' εἰς
Σίφνον ἔγημεν ἀδελφὴν τοῦ πατρὸς τοὐμοῦ, πλούτῳ
μὲν αὐτὸς πρῶτος ὢν τῶν πολιτῶν, γένει δὲ καὶ τοῖς
ἄλλοις ἀξιώμασιν εἰδὼς τὴν ἡμετέραν οἰκίαν προέχουσαν.

οὕτω δὲ σφόδρ' ἠγάπησε τὴν τοῦ πατρὸς φιλίαν, ὥστ' 8
ἀποθανούσης ἐκείνης ἄπαιδος αὖθις ἠγάγετ' ἀνεψιὰν τοῦ
πατρὸς, οὐ βουλόμενος διαλύσασθαι τὴν πρὸς ἡμᾶς οἰκειό-
τητα. οὐ πολὺν δὲ χρόνον συνοικήσας ταῖς αὐταῖς τύχαις
ἐχρήσατο καὶ περὶ ταύτην, αἷσπερ καὶ περὶ τὴν προ-
τέραν. μετὰ δὲ ταῦτ' ἔγημεν ἐκ Σερίφου παρ' ἀνθρώπων 9
πολὺ πλείονος ἀξίων ἢ κατὰ τὴν αὐτῶν πόλιν, ἐξ ἧς
ἐγένετο Σώπολις καὶ Θρασύλοχος καὶ θυγάτηρ ἡ νῦν
ἐμοὶ συνοικοῦσα. Θράσυλλος μὲν οὖν τούτους μόνους παῖ-
δας γνησίους καταλιπὼν καὶ κληρονόμους τῶν αὑτοῦ κατα-
στήσας τὸν βίον ἐτελεύτησεν.

(γ'.) Ἐγὼ δὲ καὶ Θρασύλοχος τοσαύτην φιλίαν 10
παρὰ τῶν πατέρων παραλαβόντες, ὅσην ὀλίγῳ πρότερον
διηγησάμην, ἔτι μείζω τῆς ὑπαρχούσης αὐτὴν ἐποιήσα-
μεν. ἕως μὲν γὰρ παῖδες ἦμεν, περὶ πλείονος ἡμᾶς αὐτοὺς
ἡγούμεθα ἢ τοὺς ἀδελφοὺς, καὶ οὔτε θυσίαν οὔτε θεωρίαν
οὔτ' ἄλλην ἑορτὴν οὐδεμίαν χωρὶς ἀλλήλων ἤγομεν·
ἐπειδὴ δ' ἄνδρες ἐγενόμεθα, οὐδὲν πώποτ' ἐναντίον ἡμῖν
αὐτοῖς ἐπράξαμεν, ἀλλὰ καὶ τῶν ἰδίων ἐκοινωνοῦμεν καὶ
πρὸς τὰ τῆς πόλεως ὁμοίως διεκείμεθα καὶ φίλοις καὶ
ξένοις τοῖς αὐτοῖς ἐχρώμεθα. καὶ τί δεῖ λέγειν τὰς οἴκοι 11
χρήσεις; ἀλλ' οὐδὲ φυγόντες ἀπ' ἀλλήλων ἠξιώσαμεν
γενέσθαι. τὸ δὲ τελευταῖον φθόῃ ἐχόμενον αὐτὸν καὶ
πολὺν χρόνον ἀσθενήσαντα, καὶ τοῦ μὲν ἀδελφοῦ Σω-
πόλιδος αὐτῷ πρότερον τετελευτηκότος, τῆς δὲ μητρὸς
καὶ τῆς ἀδελφῆς οὔπω παρουσῶν, μετὰ τοσαύτης ἐρημίας
γενόμενον οὕτως ἐπιπόνως καὶ καλῶς αὐτὸν ἐθεράπευσα,

ὥστ' ἐκεῖνον μὴ νομίζειν ἀξίαν μοι δύνασθαι χάριν ἀπο-
12 δοῦναι τῶν πεπραγμένων. ὅμως δ' οὐδὲν ἐνέλιπεν, ἀλλ' ἐπειδὴ πονήρως διέκειτο καὶ οὐδεμίαν ἐλπίδ' εἶχε τοῦ βίου, παρακαλέσας μάρτυρας υἱόν μ' ἐποιήσατο καὶ τὴν ἀδελφὴν τὴν αὑτοῦ καὶ τὴν οὐσίαν ἔδωκεν. καί μοι λαβὲ τὰς διαθήκας.

ΔΙΑΘΗΚΑΙ.

(δ΄.) Ἀνάγνωθι δή μοι καὶ τὸν νόμον τὸν Αἰγινητῶν. κατὰ γὰρ τοῦτον ἔδει ποιεῖσθαι τὰς διαθήκας· ἐνθάδε γὰρ μετῳκοῦμεν.

ΝΟΜΟΣ.

13 (ε΄.) Κατὰ τουτονὶ τὸν νόμον, ὦ ἄνδρες Αἰγινῆται, υἱόν μ' ἐποιήσατο Θρασύλοχος, πολίτην μὲν αὑτοῦ καὶ φίλον ὄντα, γεγονότα δ' οὐδενὸς χεῖρον Σιφνίων, πεπαιδευμένον δ' ὁμοίως αὑτῷ καὶ τεθραμμένον. ὥστ' οὐκ οἶδ' ὅπως ἂν μᾶλλον κατὰ τὸν νόμον ἔπραξεν, ὃς τοὺς ὁμοίους κελεύει παῖδας εἰσποιεῖσθαι. λαβὲ δή μοι καὶ τὸν Κείων νόμον, καθ' ὃν ἡμεῖς ἐπολιτευόμεθα.

ΝΟΜΟΣ.

14 (ϛ.) Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Αἰγινῆται, τούτοις μὲν τοῖς νόμοις ἠναντιοῦντο, τὸν δὲ παρ' αὐτοῖς κείμενον σύνδικον εἶχον, ἧττον ἄξιον ἦν θαυμάζειν αὐτῶν· νῦν δὲ κἀκεῖνος ὁμοίως τοῖς ἀνεγνωσμένοις κεῖται. καί μοι λαβὲ τὸ βιβλίον.

ΝΟΜΟΣ.

(ζ'.) Τί οὖν ὑπόλοιπόν ἐστιν αὐτοῖς, ὅπου τὰς μὲν 15
διαθήκας αὐτοὶ προσομολογοῦσι Θρασύλοχον καταλιπεῖν,
τῶν δὲ νόμων τούτοις μὲν οὐδείς, ἐμοὶ δὲ πάντες βοη-
θοῦσι, πρῶτον μὲν ὁ παρ' ὑμῖν τοῖς μέλλουσι διαγνώ-
σεσθαι περὶ τοῦ πράγματος, ἔπειθ' ὁ Σιφνίων, ὅθεν ἦν
ὁ τὴν διαθήκην καταλιπών, ἔτι δ' ὁ παρ' αὐτοῖς τοῖς
ἀμφισβητοῦσι κείμενος; καίτοι τίνος ἂν ὑμῖν ἀποσχέσθαι
δοκοῦσιν, οἵτινες ζητοῦσι πείθειν ὑμᾶς, ὡς χρὴ τὰς δια-
θήκας ἀκύρους ποιῆσαι τῶν μὲν νόμων οὕτως ἐχόντων,
ὑμῶν δὲ κατ' αὐτοὺς ὀμωμοκότων ψηφιεῖσθαι;

(η'.) Περὶ μὲν οὖν αὐτοῦ τοῦ πράγματος ἱκανῶς 16
ἀποδεδεῖχθαι νομίζω· ἵνα δὲ μηδεὶς οἴηται μήτ' ἐμὲ διὰ
μικρὰς προφάσεις ἔχειν τὸν κλῆρον μήτε ταύτην ἐπιεικῆ
γεγενημένην περὶ Θρασύλοχον ἀποστερεῖσθαι τῶν χρη-
μάτων, βούλομαι καὶ περὶ τούτων εἰπεῖν. αἰσχυνθείην γὰρ
ἂν ὑπὲρ τοῦ τετελευτηκότος, εἰ μὴ πάντες πεισθείητε,
μὴ μόνον ὡς κατὰ τοὺς νόμους ἀλλ' ὡς καὶ δικαίως
ταῦτ' ἔπραξεν. ῥᾳδίας δ' ἡγοῦμαι τὰς ἀποδείξεις εἶναι. 17
τοσοῦτον γὰρ διηνέγκαμεν, ὥσθ' αὕτη μὲν ἡ κατὰ γένος
ἀμφισβητοῦσα πάντα τὸν χρόνον διετέλεσε καὶ πρὸς
αὐτὸν ἐκεῖνον καὶ πρὸς Σώπολιν καὶ πρὸς τὴν μητέρ'
αὐτῶν διαφερομένη καὶ δυσμενῶς ἔχουσα, ἐγὼ δ' οὐ
μόνον περὶ Θρασύλοχον καὶ τὸν ἀδελφὸν ἀλλὰ καὶ περὶ
αὐτὴν τὴν οὐσίαν, ἧς ἀμφισβητοῦμεν, φανήσομαι πλεί-
στου τῶν φίλων ἄξιος γεγενημένος.

(θ'.) Καὶ περὶ μὲν τῶν παλαιῶν πολὺ ἂν ἔργον εἴη 18

λέγειν· ὅτε δὲ Πασῖνος Πάρον κατέλαβεν, ἔτυχεν αὐτοῖς ὑπεκκείμενα τὰ πλεῖστα τῆς οὐσίας παρὰ τοῖς ξένοις τοῖς ἐμοῖς· ᾠόμεθα γὰρ μάλιστα ταύτην τὴν νῆσον ἀσφαλῶς ἔχειν. ἀπορούντων δ' ἐκείνων καὶ νομιζόντων αὔτ' ἀπολωλέναι, πλεύσας ἐγὼ τῆς νυκτὸς ἐξεκόμισ' αὐτοῖς

19 τὰ χρήματα, κινδυνεύσας περὶ τοῦ σώματος· ἐφρουρεῖτο μὲν γὰρ ἡ χώρα, συγκατειληφότες δ' ἦσάν τινες τῶν ἡμετέρων φυγάδων τὴν πόλιν, οἳ μιᾶς ἡμέρας ἀπέκτειναν αὐτόχειρες γενόμενοι τόν τε πατέρα τὸν ἐμὸν καὶ τὸν θεῖον καὶ τὸν κηδεστὴν καὶ πρὸς τούτοις ἀνεψιοὺς τρεῖς. ἀλλ' ὅμως οὐδέν με τούτων ἀπέτρεψεν, ἀλλ' ᾠχόμην πλέων, ἡγούμενος ὁμοίως με δεῖν ὑπὲρ ἐκείνων κινδυνεύειν

20 ὥσπερ ὑπὲρ ἐμαυτοῦ. (ι'.) Μετὰ δὲ ταῦτα φυγῆς ἡμῖν γενομένης ἐκ τῆς πόλεως μετὰ τοιούτου θορύβου καὶ δέους ὥστ' ἐνίους καὶ τῶν σφετέρων αὐτῶν ἀμελεῖν, οὐδ' ἐν τούτοις τοῖς κακοῖς ἠγάπησα, εἰ τοὺς οἰκείους τοὺς ἐμαυτοῦ διασῶσαι δυνηθείην, ἀλλ' εἰδὼς Σώπολιν μὲν ἀποδημοῦντα, αὐτὸν δ' ἐκεῖνον ἀρρώστως διακείμενον, συνεξεκόμισ' αὐτῷ καὶ τὴν μητέρα καὶ τὴν ἀδελφὴν καὶ τὴν οὐσίαν ἅπασαν. καίτοι τίνα δικαιότερον αὐτὴν ἔχειν ἢ τὸν τότε μὲν συνδιασώσαντα, νῦν δὲ παρὰ τῶν κυρίων εἰληφότα;

21 (ια'.) Τὰ μὲν τοίνυν εἰρημέν' ἐστὶν ἐν οἷς ἐκινδύνευσα μέν, φλαῦρον δ' οὐδὲν ἀπέλαυσα· ἔχω δὲ καὶ τοιαῦτ' εἰπεῖν, ἐξ ὧν ἐκείνῳ χαριζόμενος αὐτὸς ταῖς μεγίσταις συμφοραῖς περιέπεσον. (ιβ'.) Ἐπειδὴ γὰρ ἤλθομεν εἰς Μῆλον, αἰσθόμενος, ὅτι μέλλοιμεν αὐτοῦ

καταμένειν, ἐδεῖτό μου συμπλεῖν εἰς Τροιζῆνα καὶ μηδαμῶς αὐτὸν ἀπολιπεῖν, λέγων τὴν ἀρρωστίαν τοῦ σώματος καὶ τὸ πλῆθος τῶν ἐχθρῶν, καὶ ὅτι χωρὶς ἐμοῦ γενόμενος οὐδὲν ἕξοι χρῆσθαι τοῖς αὑτοῦ πράγμασιν, φοβου- 22
μένης δὲ τῆς μητρὸς, ὅτι τὸ χωρίον ἐπυνθάνετο νοσῶδες εἶναι, καὶ τῶν ξένων συμβουλευόντων αὐτοῦ μένειν, ὅμως ἔδοξεν ἡμῖν ἐκείνῳ χαριστέον εἶναι. καὶ μετὰ ταῦτ' οὐκ ἔφθημεν εἰς Τροιζῆν' ἐλθόντες καὶ τοιαύταις νόσοις ἐλήφθημεν, ἐξ ὧν αὐτὸς μὲν παρὰ μικρὸν ἦλθον ἀποθανεῖν, ἀδελφὴν δὲ κόρην τετρακαιδεκέτιν γεγονυῖαν ἐντὸς τριάκονθ' ἡμερῶν κατέθαψα, τὴν δὲ μητέρ' οὐδὲ πένθ' ἡμέραις ἐκείνης ὕστερον. καίτοι τίν' οἴεσθέ με γνώμην ἔχειν τοσαύτης μοι μεταβολῆς τοῦ βίου γεγενημένης; ὃς τὸν μὲν ἄλλον χρόνον ἀπαθὴς ἦν κακῶν, νεωστὶ δ' 23
ἐπειρώμην φυγῆς καὶ τοῦ παρ' ἑτέροις μὲν μετοικεῖν, στέρεσθαι δὲ τῶν ἐμαυτοῦ, πρὸς δὲ τούτοις ὁρῶν τὴν μητέρα τὴν αὑτοῦ καὶ τὴν ἀδελφὴν ἐκ μὲν τῆς πατρίδος ἐκπεπτωκυίας, ἐπὶ δὲ ξένης καὶ παρ' ἀλλοτρίοις τὸν βίον τελευτώσας. ὥστ' οὐδεὶς ἄν μοι δικαίως φθονήσειεν, εἴ τι τῶν Θρασυλόχου πραγμάτων ἀγαθὸν ἀπολέλαυκα· καὶ γὰρ ἵνα χαρισαίμην ἐκείνῳ μετοικισάμενος, ἐν Τροιζῆνι τοιαύταις ἐχρησάμην συμφοραῖς, ὧν οὐδέποτ' ἂν ἐπιλαθέσθαι δυνηθείην.

(ιγ'.) Καὶ μὴν οὐδὲ τοῦθ' ἕξουσιν εἰπεῖν, ὡς εὖ μὲν 24
πράττοντος Θρασυλόχου πάντα ταῦθ' ὑπέμενον, δυστυχήσαντα δ' αὐτὸν ἀπέλιπον· ἐν αὐτοῖς γὰρ τούτοις ἔτι σαφέστερον καὶ μᾶλλον ἐπεδειξάμην τὴν εὔνοιαν, ἣν εἶχον

εἰς ἐκεῖνον. ἐπειδὴ γὰρ εἰς Αἴγιναν κατοικισάμενος ἠσθέ-
νησε ταύτην τὴν νόσον, ἐξ ἧσπερ ἀπέθανεν, οὕτως αὐτὸν
ἐθεράπευσα, ὡς οὐκ οἶδ' ὅστις πώποθ' ἕτερος ἕτερον,
τὸν μὲν πλεῖστον τοῦ χρόνου πονήρως μὲν ἔχοντα, περι-
ιέναι δ' ἔτι δυνάμενον, ἓξ μῆνας δὲ συνεχῶς ἐν τῇ κλίνῃ
25 κείμενον. καὶ τούτων τῶν ταλαιπωριῶν οὐδεὶς τῶν συγ-
γενῶν μετασχεῖν ἠξίωσεν, ἀλλ' οὐδ' ἐπισκεψόμενος ἀφί-
κετο πλὴν τῆς μητρὸς καὶ τῆς ἀδελφῆς, αἳ πλέον θάτε-
ρον ἐποίησαν· ἀσθενοῦσαι γὰρ ἦλθον ἐκ Τροιζῆνος, ὥστ'
αὐταὶ θεραπείας ἐδέοντο. ἀλλ' ὅμως ἐγώ, τοιούτων τῶν
ἄλλων περὶ αὐτὸν γεγενημένων, οὐκ ἀπεῖπον οὐδ' ἀπέ-
26 στην ἀλλ' ἐνοσήλευον αὐτὸν μετὰ παιδὸς ἑνός· οὐδὲ γὰρ
τῶν οἰκετῶν οὐδεὶς ὑπέμεινεν. καὶ γὰρ φύσει χαλεπὸς
ὢν ἔτι δυσκολώτερον διὰ τὴν νόσον διέκειτο, ὥστ' οὐκ
ἐκείνων ἄξιον θαυμάζειν, εἰ μὴ παρέμενον, ἀλλὰ πολὺ
μᾶλλον, ὅπως ἐγὼ τοιαύτην νόσον θεραπεύων ἀνταρκεῖν
27 ἠδυνάμην· ὃς ἔμπυος μὲν ἦν πολὺν χρόνον, ἐκ δὲ τῆς
κλίνης οὐκ ἠδύνατο κινεῖσθαι, τοιαῦτα δ' ἔπασχεν ὥσθ'
ἡμᾶς μηδεμίαν ἡμέραν ἀδακρύτους διάγειν, ἀλλὰ θρη-
νοῦντες διετελοῦμεν καὶ τοὺς πόνους τοὺς ἀλλήλων καὶ
τὴν φυγὴν καὶ τὴν ἐρημίαν τὴν ἡμετέραν αὐτῶν. καὶ
ταῦτ' οὐδένα χρόνον διέλειπεν· οὐδὲ γὰρ ἀπελθεῖν οἷόν
τ' ἦν ἢ δοκεῖν ἀμελεῖν, ὅ μοι πολὺ δεινότερον ἦν τῶν
κακῶν τῶν παρόντων.

28 (ιδ'.) Ἠβουλόμην δ' ἂν ὑμῖν οἷός τ' εἶναι ποιῆσαι
φανερόν, οἷος περὶ αὐτὸν ἐγενόμην· οἶμαι γὰρ οὐδ' ἂν
τὴν φωνὴν ὑμᾶς ἀνασχέσθαι τῶν ἀντιδίκων. νῦν δὲ τὰ

χαλεπώτατα τῶν ἐν τῇ θεραπείᾳ καὶ δυσχερέστατα καὶ
πόνους ἀηδεστάτους ἔχοντα καὶ πλείστης ἐπιμελείας
δεηθέντ' οὐκ εὐδιήγητ' ἐστίν. ἀλλ' ὑμεῖς αὐτοὶ σκοπεῖτε,
μετὰ πόσων ἂν τις ἀγρυπνιῶν καὶ ταλαιπωριῶν τοιοῦτον
νόσημα τοσοῦτον χρόνον θεραπεύσειεν. ἐγὼ μὲν γὰρ οὕτω 29
κακῶς διετέθην, ὥσθ' ὅσοι περ εἰσῆλθον τῶν φίλων, ἔφα-
σαν δεδιέναι, μὴ κἀγὼ προσαπόλωμαι, καὶ συνεβούλευόν
μοι φυλάττεσθαι, λέγοντες, ὡς οἱ πλεῖστοι τῶν θερα-
πευσάντων ταύτην τὴν νόσον αὐτοὶ προσδιεφθάρησαν. πρὸς
οὓς ἐγὼ τοιαῦτ' ἀπεκρινάμην, ὅτι πολὺ ἂν θᾶττον ἑλοί-
μην ἀποθανεῖν ἢ 'κεῖνον περιιδεῖν δι' ἔνδειαν τοῦ θερα-
πεύσοντος πρὸ μοίρας τελευτήσαντα. 30

(ιε'.) Καὶ τοιούτῳ μοι γεγενημένῳ τετόλμηκεν ἀμφι-
σβητεῖν τῶν χρημάτων ἡ μηδ' ἐπισκέψασθαι πώποτ'
αὐτὸν ἀξιώσασα, τοσοῦτον μὲν χρόνον ἀσθενήσαντα,
πυνθανομένη δὲ καθ' ἑκάστην τὴν ἡμέραν, ὡς διέκειτο,
ῥᾳδίας δ' οὔσης αὐτῇ τῆς πορείας. εἶτα νῦν αὐτὸν ἀδελ-
φίζειν ἐπιχειρήσουσιν, ὥσπερ οὐχ ὅσῳ περ ἂν οἰκειότερον
προσείπωσι τὸν τεθνεῶτα, τοσούτῳ δόξουσαν αὐτὴν μείζω
καὶ δεινότερ' ἐξαμαρτεῖν· ἥτις οὐδ' ἐπειδὴ τελευτᾶν ἤμελλε 31
τὸν βίον, ὁρῶσα τοὺς πολίτας τοὺς ἡμετέρους, ὅσοι περ
ἦσαν ἐν Τροιζῆνι, διαπλέοντας εἰς Αἴγιναν, ἵν' αὐτὸν
συγκαταθάψειαν, οὐδ' εἰς τοῦτον τὸν καιρὸν ἀπήντησεν,
ἀλλ' οὕτως ὠμῶς καὶ σχετλίως εἶχεν, ὥστ' ἐπὶ μὲν τὸ
κῆδος οὐκ ἠξίωσεν ἀφικέσθαι, τῶν δὲ καταλειφθέντων
οὐδὲ δέχ' ἡμέρας διαλιποῦσ' ἦλθεν ἀμφισβητοῦσα, ὥσπερ
τῶν χρημάτων ἀλλ' οὐκ ἐκείνου συγγενὴς οὖσα. καὶ εἰ 32

μὲν ὁμολογήσει τοσαύτην ἔχθραν ὑπάρχειν αὐτῇ πρὸς ἐκεῖνον ὥστ' εἰκότως ταῦτα ποιεῖν, οὐκ ἂν κακῶς εἴη βεβουλευμένος, εἰ τοῖς φίλοις ἠβουλήθη μᾶλλον ἢ ταύτῃ τὴν οὐσίαν καταλιπεῖν· εἰ δὲ μηδεμιᾶς διαφορᾶς οὔσης οὕτως ἀμελὴς καὶ κακὴ περὶ αὐτὸν ἐγένετο, πολὺ ἂν δήπου δικαιότερον στερηθείη τῶν αὐτῆς ἢ τῶν ἐκείνου
33 κληρονόμος γίγνοιτο. ἐνθυμεῖσθε δ' ὅτι τὸ μὲν ταύτης μέρος οὔτ' ἐν τῇ νόσῳ θεραπείας ἔτυχεν οὔτ' ἀποθανὼν τῶν νομιζομένων ἠξιώθη, δι' ἐμὲ δ' ἀμφότερα ταῦτ' αὐτῷ γεγένηται. καίτοι δίκαιόν ἐστιν ὑμᾶς τὴν ψῆφον φέρειν, οὐκ εἴ τινες γένει μέν φασι προσήκειν, ἐν δὲ τοῖς ἔργοις ὅμοιοι τοῖς ἐχθροῖς γεγόνασιν, ἀλλὰ πολὺ μᾶλλον ὅσοι μηδὲν ὄνομα συγγενείας ἔχοντες οἰκειοτέρους σφᾶς αὐτοὺς ἐν ταῖς συμφοραῖς τῶν ἀναγκαίων παρέσχον.
34 (ιϛ'.) Λέγουσι δ' ὡς τὰς μὲν διαθήκας οὐκ ἀπιστοῦσι Θρασύλοχον καταλιπεῖν, οὐ μέντοι καλῶς οὐδ' ὀρθῶς φασὶν αὐτὰς ἔχειν. καίτοι, ὦ ἄνδρες Αἰγινῆται, πῶς ἄν τις ἄμεινον ἢ μᾶλλον συμφερόντως περὶ τῶν αὑτοῦ πραγμάτων ἐβουλεύσατο; ὃς οὔτ' ἔρημον τὸν οἶκον κατέλιπε τοῖς τε φίλοις χάριν ἀπέδωκεν, ἔτι δὲ τὴν μητέρα καὶ τὴν ἀδελφὴν οὐ μόνον τῶν αὑτοῦ κυρίας ἀλλὰ καὶ τῶν ἐμῶν κατέστησε, τὴν μὲν ἐμοὶ συνοικίσας, τῇ δ'
35 υἱόν μ' εἰσποιήσας; ἆρ' ἂν ἐκείνως ἄμεινον ἔπραξεν, εἰ μήτε τῆς μητρὸς τὸν ἐπιμελησόμενον κατέστησε, μήτ' ἐμοῦ μηδεμίαν μνείαν ἐποιήσατο, τὴν δ' ἀδελφὴν ἐπὶ τῇ τύχῃ κατέλιπε, καὶ τὸν οἶκον ἀνώνυμον τὸν αὑτοῦ περιεῖδε γενόμενον;

(ιζ΄). Ἀλλὰ γὰρ ἴσως ἀνάξιος ἦν υἱὸς εἰσποιηθῆναι 36
Θρασυλόχῳ καὶ λαβεῖν αὐτοῦ τὴν ἀδελφήν. ἀλλὰ πάντες
ἂν μαρτυρήσειαν Σίφνιοι τοὺς προγόνους τοὺς ἐμοὺς καὶ
γένει καὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς ἄλλοις ἅπασι πρώ-
τους εἶναι τῶν πολιτῶν. τίνες γὰρ ἢ μειζόνων ἀρχῶν
ἠξιώθησαν, ἢ πλείω χρήματ' εἰσήνεγκαν, ἢ κάλλιον ἐχο-
ρήγησαν, ἢ μεγαλοπρεπέστερον τὰς ἄλλας λειτουργίας
ἐλειτούργησαν; ἐκ ποίας δ' οἰκίας τῶν ἐν Σίφνῳ πλείους
βασιλεῖς γεγόνασιν; ὥστε Θρασύλοχός τ' εἰ καὶ μηδὲ 37
πώποτ' αὐτῷ διελέχθην, εἰκότως ἂν ἠβουλήθη μοι διὰ
ταῦτα δοῦναι τὴν ἀδελφὴν, ἐγώ τ' εἰ καὶ μηδέν μοι
τούτων ὑπῆρχεν, ἀλλὰ φαυλότατος ἦν τῶν πολιτῶν,
δικαίως ἂν παρ' αὐτοῦ διὰ τὰς εὐεργεσίας τὰς εἰς ἐκεῖ-
νον τῶν μεγίστων ἠξιώθην.

(ιη΄.) Οἶμαι τοίνυν αὐτὸν καὶ Σωπόλιδι τἀδελφῷ 38
μάλιστα κεχαρίσθαι ταῦτα διαθέμενον. καὶ γὰρ ἐκεῖνος
ταύτην μὲν ἐμίσει καὶ κακόνουν τοῖς αὐτοῦ πράγμασιν
ἡγεῖτο, ἐμὲ δὲ περὶ πλείστου τῶν αὐτοῦ φίλων ἐποιεῖτο.
ἐδήλωσε δ' ἐν ἄλλοις τε πολλοῖς καὶ ὅτ' ἔδοξε τοῖς συμ-
φυγάσιν ἐπιχειρεῖν τῇ πόλει μετὰ τῶν ἐπικούρων. αἱρε-
θεὶς γὰρ ἄρχειν αὐτοκράτωρ ἐμὲ καὶ γραμματέα προσ-
είλετο καὶ τῶν χρημάτων ταμίαν ἁπάντων κατέστησε,
καὶ ὅτ' ἠμέλλομεν κινδυνεύειν, αὐτὸς αὐτῷ με παρετά-
ξατο. καὶ σκέψασθ' ὡς σφόδρ' αὐτῷ συνήνεγκεν· δυστυχη- 39
σάντων γὰρ ἡμῶν ἐν τῇ προσβολῇ τῇ πρὸς τὴν πόλιν καὶ
τῆς ἀναχωρήσεως οὐχ οἵας ἠβουλόμεθα γενομένης, τετρω-
μένον αὐτὸν καὶ βαδίζειν οὐ δυνάμενον ἀλλὰ λιποψυχοῦντ'

ἀπεκόμισ' ἐπὶ τὸ πλοῖον μετὰ τοῦ θεράποντος τοὐμαυ-
τοῦ, φέρων ἐπὶ τῶν ὤμων, ὥστ' ἐκεῖνον πολλάκις καὶ
πρὸς πολλοὺς εἰπεῖν, ὅτι μόνος ἀνθρώπων αἴτιος εἴην αὐτῷ
40 τῆς σωτηρίας. καίτοι τίς ἂν μείζων ταύτης εὐεργεσία
γένοιτο; ἐπειδὴ τοίνυν εἰς Λυκίαν ἐκπλεύσας ἀπέθανεν,
αὕτη μὲν οὐ πολλαῖς ἡμέραις ὕστερον μετὰ τὴν ἀγγε-
λίαν ἔθυε ναὶ ἑώρταζε καὶ οὐδὲ τὸν ἀδελφὸν ᾐσχύνετο
τὸν ἔτι ζῶντα, οὕτως ὀλίγον φροντίζουσα τοῦ τεθνεῶτος,
ἐγὼ δ' ἐπένθησ' αὐτὸν, ὥσπερ τοὺς οἰκείους νόμος ἐστίν.
41 καὶ ταῦτα πάντ' ἐποίουν διὰ τὸν τρόπον τὸν ἐμαυτοῦ
καὶ τὴν φιλίαν τὴν πρὸς ἐκείνους ἀλλ' οὐ ταυτησὶ τῆς
δίκης ἕνεκα· οὐ γὰρ ᾤμην αὐτοὺς οὕτω δυστυχήσειν ὥστ'
ἄπαιδας ἀμφοτέρους τελευτήσαντας εἰς ἔλεγχον κατα-
στήσειν, ὁποῖός τις ἕκαστος ἡμῶν περὶ αὐτοὺς ἐγένετο.
42 (ιθ'.) Πρὸς μὲν οὖν Θρασύλοχόν τε καὶ Σώπολιν ὡς
αὕτη τε κἀγὼ διεκείμεθα, σχεδὸν ἀκηκόατε· τρέψονται
δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον, ὅσπερ αὐτοῖς λοιπός
ἐστιν, ὡς Θράσυλλος ὁ πατὴρ ὁ ταύτης ἡγοῖτ' ἂν
δεινὰ πάσχειν, εἴ τίς ἐστιν αἴσθησις τοῖς τεθνεῶσι περὶ
τῶν ἐνθάδε γιγνομένων, ὁρῶν τὴν μὲν θυγατέρ' ἀποστε-
ρουμένην τῶν χρημάτων, ἐμὲ δὲ κληρονόμον ὧν αὐτὸς
43 ἐκτήσατο γιγνόμενον. (κ'.) Ἐγὼ δ' ἡγοῦμαι μὲν οὐ περὶ
τῶν πάλαι τεθνεώτων ἀλλὰ περὶ τῶν ἔναγχος τὸν κλῆ-
ρον καταλιπόντων προσήκειν ἡμῖν τοὺς λόγους ποιεῖσθαι.
Θράσυλλος μὲν γὰρ, οὕσπερ ἠβούλετο, τούτους κυρίους
τῶν αὑτοῦ κατέλιπεν· δίκαιον δὲ καὶ Θρασυλόχῳ ταὐτὰ
ταῦτ' ἀποδοθῆναι παρ' ὑμῶν, καὶ γενέσθαι διαδόχους τῆς

κληρονομίας μὴ ταύτην, ἀλλ' οἷς ἐκεῖνος διέθετο· οὐ
μέντ' ἂν μοι δοκῶ φυγεῖν οὐδὲ τὴν Θρασύλλου γνώμην.
οἶμαι γὰρ ἂν αὐτὸν πάντων γενέσθαι ταύτῃ χαλεπώ- 44
τατον δικαστὴν, εἴπερ αἴσθοιτο, οἷα περὶ τοὺς παῖδας
αὐτοῦ γεγένηται. πολλοῦ (γ') ἂν δεήσειεν ἀχθεσθῆναι
κατὰ τοὺς νόμους ὑμῶν ψηφισαμένων, ἀλλὰ πολὺ ἂν
μᾶλλον, εἰ τὰς τῶν παίδων διαθήκας ἀκύρους ἴδοι γενο-
μένας. καὶ γὰρ εἰ μὲν εἰς τὸν οἶκον τὸν ἐμὸν δεδωκὼς
ἦν Θρασύλοχος τὴν οὐσίαν, τοῦτ' ἂν ἐπιτιμᾶν εἶχον
αὐτῷ· νῦν δ' εἰς τὸν αὐτῶν μ' εἰσεποιήσατο, ὥστ' οὐκ
ἐλάττω τυγχάνουσιν εἰληφότες ὧν δεδώκασιν. χωρὶς δὲ 45
τούτων, οὐδένα μᾶλλον εἰκός ἐστιν ἢ Θράσυλλον εὔνουν
εἶναι τοῖς κατὰ δόσιν ἀμφισβητοῦσιν· καὶ γὰρ αὐτὸς
καὶ τὴν τέχνην ἔμαθε παρὰ Πολεμαινέτου τοῦ μάντεως
καὶ τὰ χρήματ' ἔλαβεν οὐ κατὰ γένος ἀλλὰ δι' ἀρετὴν,
ὥστ' οὐκ ἂν δήπου φθονήσειεν, εἴ τις περὶ τοὺς παῖδας
αὐτοῦ χρηστὸς γενόμενος τῆς αὐτῆς δωρεᾶς ἧσπερ ἐκεῖνος
ἠξιώθη. (κά.) Μεμνῆσθαι δὲ χρὴ καὶ τῶν ἐν ἀρχῇ ῥηθέν- 46
των. ἐπέδειξα γὰρ ὑμῖν αὐτὸν οὕτω περὶ πολλοῦ τὴν
ἡμετέραν οἰκειότητα ποιησάμενον ὥστε γῆμαι καὶ τὴν
ἀδελφὴν τὴν τοῦ πατρὸς καὶ τὴν ἀνεψιάν. καίτοι τίσιν
ἂν θᾶττον τὴν αὑτοῦ θυγατέρ' ἐξέδωκεν ἢ τούτοις παρ'
ὧνπερ αὐτὸς λαμβάνειν ἠξίωσεν; ἐκ ποίας δ' ἂν οἰκίας
ἥδιον εἶδεν υἱὸν αὑτῷ κατὰ τοὺς νόμους εἰσποιηθέντα
μᾶλλον ἢ ταύτης, ἐξ ἧσπερ καὶ φύσει παῖδας ἐζήτησεν
αὑτῷ γενέσθαι;

(κβ'.) Ὥστ' ἂν μὲν ἐμοὶ ψηφίσησθε τὸν κλῆρον, καὶ 47

πρὸς ἐκεῖνον ὑμῖν καλῶς ἕξει καὶ πρὸς τοὺς ἄλλους ἅπαν-
τας, οἷς προσήκει τι τούτων τῶν πραγμάτων· ἂν δ' ὑπὸ
ταύτης πεισθέντες ἐξαπατηθῆτε, οὐ μόνον ἔμ' ἀδικήσετε
ἀλλὰ καὶ Θρασύλοχον τὸν τὴν διαθήκην καταλιπόντα
καὶ Σώπολιν καὶ τὴν ἀδελφὴν τὴν ἐκείνων, ἣ νῦν ἐμοὶ
συνοικεῖ, καὶ τὴν μητέρ' αὐτῶν, ἣ πασῶν ἂν εἴη δυστυ-
χεστάτη γυναικῶν, εἰ μὴ μόνον ἐξαρκέσειεν αὐτῇ στέ-
ρεσθαι τῶν παίδων, ἀλλὰ καὶ τοῦτ' αὐτῇ προσγένοιτο,
ὥστ' ἐπιδεῖν ἄκυρον μὲν τὴν ἐκείνων γνώμην οὖσαν, ἔρη-
48 μον δὲ τὸν οἶκον γιγνόμενον, καὶ τὴν μὲν ἐπιχαίρουσαν
τοῖς αὐτῆς κακοῖς ἐπιδικαζομένην τῶν χρημάτων, ἐμὲ δὲ
μηδενὸς δυνάμενον τῶν δικαίων τυχεῖν, ὃς τοιαῦτ' ἔπραξα
περὶ τοὺς ἐκείνης, ὥστ' εἴ τίς με σκοποῖτο μὴ πρὸς
ταύτην ἀλλὰ πρὸς τοὺς πώποτε κατὰ δόσιν ἀμφισβη-
τήσαντας, εὑρεθείην ἂν οὐδενὸς χείρων αὐτῶν περὶ τοὺς
φίλους γεγενημένος. καίτοι χρὴ τοὺς τοιούτους τιμᾶν
καὶ περὶ πολλοῦ ποιεῖσθαι πολὺ μᾶλλον ἢ τὰς ὑφ' ἑτέ-
49 ρων δεδομένας δωρεὰς ἀφαιρεῖσθαι. ἄξιον δ' ἐστι καὶ τῷ
νόμῳ βοηθεῖν, καθ' ὃν ἔξεστιν ἡμῖν καὶ παῖδας εἰσποιή-
σασθαι καὶ βουλεύσασθαι περὶ τῶν ἡμετέρων αὐτῶν, ἐνθυ-
μηθέντας, ὅτι τοῖς ἐρήμοις τῶν ἀνθρώπων ἀντὶ παίδων
οὗτός ἐστιν· διὰ γὰρ τοῦτον καὶ οἱ συγγενεῖς καὶ οἱ
μηδὲν προσήκοντες μᾶλλον ἀλλήλων ἐπιμελοῦνται.
50 (κγ'.) Ἵνα δὲ παύσωμαι λέγων καὶ μηκέτι πλείω
χρόνον διατρίβω, σκέψασθ' ὡς μεγάλα και δίκαι' ἥκω
πρὸς ὑμᾶς ἔχων, πρῶτον μὲν φιλίαν πρὸς τοὺς καταλι-
πόντας τὸν κλῆρον παλαιὰν καὶ πατρικὴν καὶ πάντα τὸν

χρόνον διατελέσασαν, ἔπειτ' εὐεργεσίας πολλὰς καὶ μεγάλας καὶ περὶ δυστυχοῦντας ἐκείνους γεγενημένας, πρὸς δὲ τούτοις διαθήκας παρ' αὐτῶν τῶν ἀντιδίκων ὁμολογουμένας, ἔτι δὲ νόμον ταύταις βοηθοῦντα, ὃς δοκεῖ τοῖς Ἕλλησιν ἅπασι καλῶς κεῖσθαι. τεκμήριον δὲ μέγιστον· περὶ γὰρ ἄλλων πολλῶν διαφερόμενοι περὶ 51
τούτου ταὐτὰ γιγνώσκουσιν. δέομαι οὖν ὑμῶν καὶ τούτων μεμνημένους καὶ τῶν ἄλλων τῶν εἰρημένων τὰ δίκαια ψηφίσασθαι, καὶ τοιούτους μοι γενέσθαι δικαστάς, οἵων περ ἂν αὐτοὶ τυχεῖν ἀξιώσαιτε.

---

# ΙΣΑΙΟΥ ΠΕΡΙ ΤΟΥ ΚΙΡΩΝΟΣ ΚΛΗΡΟΥ.

---

## PRAEFATIO.

Dionysius Halicarnassensis de oratoribus Graecis scripta nobis reliquit, quae omnium studio digna sunt. Dolendum est eum a paucis legi, a plurimis neglegi. Liceat mihi transcribere quae nobiscum communicat de vita Isaei.

Pag. 300 ed. Reisk. Ed. Tauchn. Tom. V p. 306.

Ἰσαῖος δὲ, ὁ Δημοσθένους καθηγησάμενος, καὶ διὰ τοῦτο μάλιστα γενόμενος περιφανὴς, ὡς μέν τινες ἱστοροῦσιν, Ἀθηναῖος ἦν τὸ γένος· ὡς δὲ ἕτεροι γράφουσι, Χαλκιδεύς· ἤκμασε δὲ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς ἐκ λόγων αὐτοῦ τεκμαίρομαι· καὶ μέχρι τῆς Φιλίππου δυναστείας παρεξέτεινε· γενέσεως δὲ καὶ τελευτῆς τοῦ ῥήτορος ἀκριβῆ χρόνον εἰπεῖν οὐκ ἔχω· οὐδὲ δὴ περὶ τοῦ βίου τοῦ ἀνδρὸς, οἷός τις ἦν· οὐδὲ περὶ τῆς προαιρέσεως τῶν πολιτευμάτων. οὐδὲ ἀρχὴν εἰ προείλετό τινα πολίτειαν· οὐδ᾽ ὅλως περὶ τῶν τοιούτων οὐδενὸς,

διὰ τὸ μηδὲ τοιαύτῃ περιτυγχάνειν ἱστορίᾳ· οὐδὲ γὰρ ὁ τοὺς Ἰσοκράτους μαθητὰς ἀναγράψας Ἕρμιππος, ἀκριβὴς ἐν τοῖς ἄλλοις γενόμενος, περὶ τοῦδε τοῦ ῥήτορος οὐδὲν εἴρηκεν, ἔξω δυοῖν τούτων, ὅτι διήκουσε μὲν Ἰσοκράτους, καθηγήσατο δὲ Δημοσθένους, συνεγένετο δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων.

---

# ΠΕΡΙ ΤΟΥ ΚΙΡΩΝΟΣ ΚΛΗΡΟΥ.

## ΥΠΟΘΕΣΙΣ.

Κίρωνος ἄπαιδος γνησίων τελευτήσαντος παίδων ἀδελφιδοῦς τις αὐτοῦ κατὰ πατέρα ἀντιποιηθεὶς τοῦ κλήρου παρέλαβε τὴν οὐσίαν αὐτοῦ παρὰ τῆς γυναικός· καὶ μετὰ ταῦτα ὁ λέγων τὸν λόγον γράφεται τὸν ἀδελφιδοῦν, φάσκων θυγατριδοῦς εἶναι Κίρωνος, καὶ ὅτι ἡ γυνὴ τοῦ τετελευτηκότος ἑκοῦσα προέδωκε τὸν κλῆρον τῷ ἀδελφιδῷ, ἵνα μέρος δοῦσα αὐτῷ τὰ λοιπὰ κερδάνῃ. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ στοχασμός· ζητεῖται γὰρ εἴτε θυγατριδοῦς ἐστιν οὗτος τοῦ Κίρωνος γνήσιος εἴτε οὔ. ἐπιπλέκεται δ' αὐτῷ καὶ ἡ κατὰ ποιότητα ζήτησις· ὁ γὰρ ἀδελφιδοῦς ἠγωνίζετο, λέγων ὅτι εἰ καὶ δῶμεν ἐκείνην γνησίαν εἶναι θυγατέρα Κίρωνος, ἐπειδὴ ἐτελεύτησεν ἐκείνη, ὁ δ' υἱὸς αὐτῆς ἀμφισβητεῖ νῦν, προτιμητέος ἐστὶν ὁ κατὰ πατέρα ἀδελφιδοῦς τοῦ ἀπὸ θυγατρὸς ἐκγόνου, κατὰ τὸν νόμον ἐκεῖνον, τὸν κελεύοντα προτιμᾶσθαι τοὺς ἀπὸ τῶν ἀρρένων τῶν ἀπὸ τῶν θηλειῶν. οὗτος γὰρ τεχνικώτατα πάνυ σιωπήσας τοῦτον τὸν νόμον, ἐκ τῆς τῶν τεκόντων διαφορᾶς ἀγωνίζεται, δεικνὺς ὅτι ὅσον θυγάτηρ ἀδελφοῦ οἰκειοτέρα τοῖς τελευτῶσι, τοσοῦτον ἔκγονος ἀδελφιδοῦ διαφέρει. ἔρρωται οὖν ἐνταῦθα τῷ δικαίῳ καὶ ἀσθενεῖ τῷ νομίμῳ· τὴν δὲ ἐργασίαν τῶν κεφαλαίων κατὰ τὴν οἰκείαν πάλιν ἐργάζεται δύναμιν.

—

Ἐπὶ τοῖς τοιούτοις, ὦ ἄνδρες, ἀνάγκη ἐστὶ χαλεπῶς φέρειν, ὅταν τινὲς μὴ μόνον τῶν ἀλλοτρίων ἀμφισ-

βητεῖν τολμῶσιν, ἀλλὰ καὶ τὰ ἐκ τῶν νόμων δίκαια τοῖς σφετέροις αὐτῶν λόγοις ἀφανιεῖν ἐλπίζωσιν· ὅπερ καὶ νῦν οὗτοι ποιεῖν ἐγχειροῦσι. τοῦ γὰρ ἡμετέρου πάππου Κίρωνος οὐκ ἄπαιδος τελευτήσαντος, ἀλλ' ἡμᾶς ἐκ θυγατρὸς [αὐτοῦ] γνησίας παῖδας αὐτῷ καταλελοιπότος, οὗτοι τοῦ τε κλήρου λαγχάνουσιν ὡς ἐγγυτάτω γένους ὄντες, ἡμᾶς τε ὑβρίζουσιν ὡς οὐκ ἐξ ἐκείνου θυγατρὸς
2 ὄντας, οὐδὲ γενομένης αὐτῷ πώποτε τὸ παράπαν. αἴτιον δὲ τοῦ ταῦτα ποιεῖν αὐτούς ἐστιν [ἡ τούτων πλεονεξία καὶ] τὸ πλῆθος τῶν χρημάτων ὧν Κίρων μὲν καταλέλοιπεν, οὗτοι δ' ἔχουσι βιασάμενοι καὶ κρατοῦσι· καὶ τολμῶσιν ἅμα μὲν λέγειν ὡς οὐδὲν καταλέλοιπεν ἐκεῖνος,
3 ἅμα δὲ ποιεῖσθαι τοῦ κλήρου τὴν ἀμφισβήτησιν. τὴν μὲν οὖν κρίσιν οὐ δεῖ μοι νομίζειν εἶναι ταύτην πρὸς τὸν εἰληχότα τοῦ κλήρου τὴν δίκην, ἀλλὰ πρὸς Διοκλέα τὸν Φλυέα, τὸν Ὀρέστην ἐπικαλούμενον· οὗτος γάρ ἐστιν ὁ τοῦτον παρασκευάσας πράγμαθ' ἡμῖν παρέχειν, ἀποστερῶν τὰ χρήματα ἃ Κίρων ὁ πάππος ἀποθνήσκων κατέλιπεν, ἡμῖν δὲ τούτους τοὺς κινδύνους ἐπάγων, ἵνα μηδὲν ἀποδιδῷ τούτων, ἐὰν ὑμεῖς ἐξαπατηθῆτε πεισθέντες ὑπὸ
4 τῶν τούτου λόγων. δεῖ δὴ τούτων τοιαῦτα μηχανωμένων πάνθ' ὑμᾶς τὰ πεπραγμένα μαθεῖν, ἵνα μηδὲν ἀγνοήσαντες τῶν γεγενημένων ἀλλὰ σαφῶς εἰδότες περὶ αὐτῶν, οὕτως ἐνέγκητε τὴν ψῆφον. εἴ τινι οὖν καὶ ἄλλῃ πώποτε δίκῃ προσέσχετε ἀκριβῶς τὸν νοῦν, δέομαι ὑμῶν καὶ ταύτῃ προσέχειν ὁμοίως, ὥσπερ καὶ τὸ δίκαιόν ἐστι. πολλῶν δὲ δικῶν ἐν τῇ πόλει γενομένων, οὐδένες ἀναιδέστερον

τούτων οὐδὲ καταφανέστερον ἀντιποιησάμενοι φανήσονται
τῶν ἀλλοτρίων. ἔστι μὲν οὖν χαλεπόν, ὦ ἄνδρες, πρὸς 5
παρασκευὰς λόγων καὶ μάρτυρας οὐ τἀληθῆ μαρτυροῦν-
τας εἰς ἀγῶνα καθίστασθαι περὶ τηλικούτων, παντά-
πασιν ἀπείρως ἔχοντα δικαστηρίων· οὐ μὴν ἀλλὰ πολλὰς
ἐλπίδας ἔχω καὶ παρ' ὑμῶν τεύξεσθαι τῶν δικαίων καὶ
μέχρι γε τοῦ τὰ δίκαια εἰπεῖν καὶ αὐτὸς ἀρκούντως
ἐρεῖν, ἂν μή τι συμβῇ τοιοῦτον ὃ νῦν ὑπ' ἐμοῦ τυγχάνει
προσδοκώμενον . . . δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, μετ' εὐνοίας
τέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί μοι τὰ
δίκαια.

Πρῶτον μὲν οὖν, ὡς ἦν ἡ μήτηρ ἡ 'μὴ Κίρωνος 6
θυγάτηρ γνησία, ἐπιδείξω τοῦτο ὑμῖν, τὰ μὲν πάλαι
γεγενημένα λόγων ἀκοῇ καὶ μαρτύρων, τὰ δ' ὥστε καὶ
μνημονεύεσθαι, τοῖς εἰδόσι χρώμενος μάρτυσιν, ἔτι δὲ
τεκμηρίοις ἃ κρείττω τῶν μαρτυριῶν ἐστιν· ἐπειδὰν δὲ
ταῦτα φανερὰ καταστήσω, τόθ' ὡς καὶ κληρονομεῖν
μᾶλλον ἡμῖν ἢ τούτοις προσήκει τῶν Κίρωνος χρημάτων.
ὅθεν οὖν ἤρξαντο περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς κἀγὼ πειρά-
σομαι διδάσκειν.

Ὁ γὰρ πάππος ὁ ἐμός, ὦ ἄνδρες, [Κίρων] ἔγημε 7
τὴν ἐμὴν τήθην οὖσαν ἀνεψιάν, ἐξ ἀδελφῆς τῆς μητρὸς
αὐτοῦ [αὐτὴν] γεγενημένην. ἐκείνη μὲν οὖν συνοικήσασα
οὐ πολὺν χρόνον, τεκοῦσα αὐτῷ τὴν ἐμὴν μητέρα, μετ'
ἐνιαυτοὺς τέτταρας τὸν βίον ἐτελεύτησεν· ὁ δὲ πάππος
μιᾶς μόνης οὔσης αὐτῷ θυγατρὸς λαμβάνει πάλιν τὴν
Διοκλέους ἀδελφήν, ἐξ ἧς αὐτῷ ἐγιγνέσθην υἱεῖς δύο.

[καὶ] ἐκείνην τε ἔτρεφε παρὰ τῇ γυναικὶ καὶ μετὰ τῶν
8 ἐξ ἐκείνης παίδων, ἐκείνων τε ἔτι ζώντων, ἐπεὶ συνοικεῖν
εἶχεν ἡλικίαν, ἐκδίδωσιν αὐτὴν Ναυσιμένει Χολαργεῖ, σὺν
ἱματίοις καὶ χρυσίοις πέντε καὶ εἴκοσι μνᾶς ἐπιδούς.
κἀκεῖνος μὲν τρισὶν ἢ τέτταρσιν ἔτεσι μετὰ ταῦτα κάμ-
νων ἀποθνήσκει, πρὶν αὐτῷ γενέσθαι παῖδας ἐκ τῆς
ἡμετέρας μητρός· ὁ δὲ πάππος κομισάμενος αὐτήν, καὶ
τὴν προῖκα οὐκ ἀπολαβὼν ὅσην ἔδωκε διὰ τὴν Ναυσι-
μένους ἀπορίαν τῶν πραγμάτων, πάλιν ἐκδίδωσι τῷ
9 ἐμῷ πατρὶ καὶ χιλίας δραχμὰς προῖκ' ἐπιδίδωσι. Ταυτὶ
δὴ πάντα πρὸς τὰς αἰτίας, ἃς νῦν οὗτοι λέγουσι, πῶς
ἄν τις δείξειε γεγενημένα φανερῶς; ἐγὼ ζητῶν ἐξηῦρον.
ἀνάγκη τὴν ἐμὴν μητέρα, εἴτε θυγάτηρ ἦν Κίρωνος εἴτε
μή, καὶ εἰ παρ' ἐκείνῳ διῃτᾶτο [ἢ οὔ], καὶ γάμους [εἰ]
διττοὺς ὑπὲρ ταύτης εἱστίασεν ἢ μή, καὶ προῖκα ἥντινα
ἑκάτερος ἐπ' αὐτῇ τῶν γημάντων ἔλαβε, πάντα ταῦτ'
εἰδέναι τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας ἃς ἐκεῖνος
10 ἐκέκτητο. βουλόμενος οὖν πρὸς τοῖς ὑπάρχουσι μάρτυσιν
ἔλεγχον ἐκ βασάνων ποιήσασθαι περὶ αὐτῶν, ἵνα μᾶλ-
λον αὐτοῖς πιστεύητε μὴ μέλλουσι δώσειν ἔλεγχον ἀλλ'
ἤδη δεδωκόσι περὶ ὧν μαρτυροῦσι, τούτους ἠξίουν ἐκδοῦναι
τὰς θεραπαίνας καὶ τοὺς οἰκέτας περί τε τούτων καὶ
περὶ τῶν ἄλλων ἁπάντων ὅσα τυγχάνουσι συνειδότες.
11 οὗτος δ' ὁ νῦν ὑμᾶς ἀξιώσων τοῖς αὐτοῦ μάρτυσι πιστεύειν
ἔφυγε τὴν βάσανον. καίτοι εἰ φανήσεται ταῦτα ποιῆσαι
μὴ θελήσας, τί ὑπολείπεται τοῖς ἐκείνου μάρτυσιν ἢ
δοκεῖν νυνὶ τὰ ψευδῆ μαρτυρεῖν, τούτου τηλικοῦτον ἔλεγχον

πεφευγότος; ἐγὼ μὲν οἶμαι οὐδέν. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λαβέ μοι πρῶτον ταύτην τὴν μαρτυρίαν καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

Ὑμεῖς μὲν τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον 12
ἀκριβέστατον ἔλεγχον νομίζετε· καὶ ὁπόταν δοῦλοι καὶ ἐλεύθεροι παραγένωνται καὶ δέῃ εὑρεθῆναί τι τῶν ζητουμένων, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες, οὕτω ζητεῖτε εὑρεῖν τὴν ἀλήθειαν τῶν γεγενημένων. εἰκότως, ὦ ἄνδρες· σύνιστε γὰρ ὅτι τῶν μὲν μαρτυρησάντων ἤδη τινὲς ἔδοξαν οὐ τἀληθῆ μαρτυρῆσαι, τῶν δὲ βασανισθέντων οὐδένες πώποτε ἐξηλέγχθησαν ὡς οὐκ ἀληθῆ ἐκ τῶν βασάνων·
εἰπόντες. οὗτος δ' ὁ πάντων ἀναισχυντότατος ἀνθρώπων 13
λόγοις πεπλασμένοις καὶ μάρτυσιν οὐ τἀληθῆ μαρτυροῦσιν ἀξιώσει πιστεύειν ὑμᾶς, φεύγων οὕτως ἀκριβεῖς ἐλέγχους; ἀλλ' οὐχ ἡμεῖς, ἀλλὰ πρότερον ὑπὲρ τῶν μαρτυρηθήσεσθαι μελλόντων ἀξιώσαντες εἰς βασάνους ἐλθεῖν, τούτους δὲ φεύγοντας ...., οὕτως οἰησόμεθα δεῖν ὑμᾶς τοῖς ἡμετέροις μάρτυσι πιστεύειν. Λαβὲ οὖν αὐτοῖς ταυτασὶ τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

Τίνας (μὲν) εἰκὸς εἰδέναι τὰ παλαιά; δῆλον ὅτι 14
τοὺς χρωμένους τῷ πάππῳ. μεμαρτυρήκασι τοίνυν ἀκοὴν οὗτοι. τίνας (δ') εἰδέναι τὰ περὶ τὴν ἔκδοσιν τῆς μητρὸς ἀνάγκη; τοὺς ἐγγυησαμένους καὶ τοὺς ἐκείνοις

παρόντας ὅτε ἠγγυῶντο. μεμαρτυρήκασι τοίνυν οἵ τε
Ναυσιμένους προσήκοντες καὶ οἱ τοῦ ἐμοῦ πατρός. τίνες
δὲ οἱ τρεφομένην ἔνδον καὶ θυγατέρα οὖσαν εἰδότες γνη-
σίαν Κίρωνος; οἱ νῦν ἀμφισβητοῦντες ἔργῳ φανερῶς
μαρτυροῦσιν ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, φεύγοντες τὴν βά-
σανον. ὥστε οὐ δήπου τοῖς ἡμετέροις ἂν ἀπιστήσαιτε
εἰκότως, ἀλλὰ πολὺ μᾶλλον τοῖς τούτων μάρτυσιν.

15 Ἡμεῖς τοίνυν καὶ ἄλλα τεκμήρια πρὸς τούτοις ἔχο-
μεν εἰπεῖν, ἵνα γνώσεσθε ὅτι ἐκ θυγατρὸς ἡμεῖς Κίρωνος
ἐσμέν. οἷα γὰρ εἰκὸς πάππον υἱέων ἐξ ἑαυτοῦ θυγατρός,
οὐδεπώποτε θυσίαν ἄνευ ἡμῶν οὐδεμίαν ἐποίησεν, ἀλλ'
εἴ τε μικρὰ εἴ τε μεγάλα θύοι, πανταχοῦ παρῆμεν
ἡμεῖς καὶ συνεθύομεν. καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρε-
καλούμεθα, ἀλλὰ καὶ εἰς Διονύσια εἰς ἀγρὸν ἦγεν ἀεὶ
16 ἡμᾶς, [καὶ] μετ' ἐκείνου τε ἐθεωροῦμεν καθήμενοι παρ'
αὐτόν, καὶ τὰς ἑορτὰς ἤγομεν παρ' ἐκεῖνον πάσας· τῷ
Διί τε θύων τῷ Κτησίῳ, περὶ ἣν μάλιστ' ἐκεῖνος θυσίαν
ἐσπούδαζε καὶ οὔτε δούλους προσῆγεν οὔτε ἐλευθέρους
ὀθνείους, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ πάντ' ἐποίει, ταύτης
ἡμεῖς ἐκοινωνοῦμεν καὶ τὰ ἱερὰ συνεχειρουργοῦμεν καὶ
συνεπετίθεμεν καὶ τἆλλα συνεποιοῦμεν, καὶ ηὔχετο
ἡμῖν ὑγίειαν διδόναι καὶ κτῆσιν ἀγαθήν, ὥσπερ εἰκὸς
17 ὄντα πάππον. καίτοι εἰ μὴ θυγατριδοῦς ἡμᾶς ἐνόμιζεν
εἶναι καὶ μόνους ἐκγόνους ἑώρα λοιποὺς [καταλελειμμέ-
νους] αὐτῷ, οὐκ ἄν ποτε ἐποίει τούτων οὐδέν, ἀλλὰ
τόνδ' ἂν αὐτῷ παρίστατο, ὃς ἀδελφιδοῦς αὐτοῦ νῦν εἶναι
φησί. καὶ ταῦθ' ὅτι ἀληθῆ πάντ' ἐστίν, ἀκριβέστατα

μὲν οἱ τοῦ πάππου θεράποντες ἴσασιν, οὓς οὗτος παραδοῦναι εἰς βάσανον οὐκ ἠθέλησεν, ἴσασι δὲ περιφανέστατα καὶ τῶν ἐκείνῳ χρωμένων τινές, οὓς παρέξομαι μάρτυρας. Καί μοι λαβὲ τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

## ΜΑΡΤΥΡΙΑΙ.

Οὐ τοίνυν ἐκ τούτων δῆλόν ἐστι μόνον ὅτι ἦν ἡμῶν 18
ἡ μήτηρ θυγάτηρ γνησία Κίρωνος, ἀλλὰ καὶ ἐξ ὧν ὁ πατὴρ ἡμῶν ἔπραξε καὶ ἐξ ὧν αἱ γυναῖκες αἱ τῶν δημοτῶν περὶ αὐτῆς ἐγίγνωσκον. ὅτε γὰρ ὁ πατὴρ αὐτὴν ἐλάμβανε, γάμους εἱστίασε καὶ ἐκάλεσε τρεῖς αὑτοῦ φίλους μετὰ τῶν αὑτοῦ προσηκόντων, τοῖς τε φράτερσι γαμηλίαν εἰσήνεγκε κατὰ τοὺς ἐκείνων νόμους. αἵ τε 19
γυναῖκες αἱ τῶν δημοτῶν μετὰ ταῦτα προὔκριναν αὐτὴν μετὰ τῆς Διοκλέους γυναικὸς τοῦ Πιτθέως ἄρχειν εἰς [τὰ] Θεσμοφόρια καὶ ποιεῖν τὰ νομιζόμενα μετ' ἐκείνης. ὅ τε πατὴρ ἡμῶν, ἐπειδὴ ἐγενόμεθα, εἰς τοὺς φράτερας ἡμᾶς εἰσήγαγεν, ὀμόσας κατὰ τοὺς νόμους τοὺς κειμένους ἦ μὴν ἐξ ἀστῆς καὶ ἐγγυητῆς γυναικὸς εἰσάγειν· τῶν δὲ φρατέρων οὐδεὶς ἀντεῖπεν οὐδ' ἠμφισβήτησε μὴ οὐκ ἀληθῆ ταῦτ' εἶναι, πολλῶν ὄντων καὶ ἀκριβῶς τὰ τοιαῦτα σκοπουμένων. καίτοι μὴ οἴεσθ' ἄν, εἰ τοιαύτη 20
τις ἦν ἡ μήτηρ ἡμῶν οἵαν οὗτοί φασί, μήτ' ἂν τὸν πατέρα ἡμῶν γάμους ἑστιᾶν καὶ γαμηλίαν εἰσενεγκεῖν, ἀλλὰ ἀποκρύψασθαι ταῦτα πάντα, μήτε τὰς τῶν ἄλλων δημοτῶν γυναῖκας αἱρεῖσθαι ἂν αὐτὴν συνιεροποιεῖν τῇ Διοκλέους γυναικὶ καὶ κυρίαν ποιεῖν ἱερῶν, ἀλλ' ἑτέρᾳ

τινι περὶ τούτων ἐπιτρέπειν, μήτε τοὺς Φράτερας εἰσδέχεσθαι ἂν ἡμᾶς, ἀλλὰ κατηγορεῖν καὶ ἐξελέγχειν, εἰ μὴ πάντοθεν ἦν ὁμολογούμενον τὴν μητέρα ἡμῶν εἶναι θυγατέρα γνησίαν Κίρωνος. νῦν δὲ τῇ περιφανείᾳ τοῦ πράγματος καὶ τῷ συνειδέναι ταῦτα πολλοὺς οὐδαμόθεν ἠμφισβητήθη τοιοῦτον οὐδέν. Καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

21 Ἔτι τοίνυν, ὦ ἄνδρες, καὶ ἐξ ὧν ὁ Διοκλῆς ἔπραξεν ὅτε ἡμῶν ὁ πάππος ἐτελεύτησε, γνῶναι ῥᾴδιον ὅτι ὡμολογούμεθα εἶναι θυγατριδοῖ Κίρωνος. ἧκον γὰρ ἐγὼ κομιούμενος αὐτὸν ὡς θάψων ἐκ τῆς οἰκίας τῆς ἐμαυτοῦ, τῶν ἐμαυτοῦ οἰκείων τινὰ ἔχων, ἀνεψιὸν τοῦ πατρός· καὶ Διοκλέα μὲν οὐ κατέλαβον ἔνδον, εἰσελθὼν δὲ εἴσω
22 κομίζειν οἷος ἦν, ἔχων τοὺς οἴσοντας. δεομένης δὲ τῆς τοῦ πάππου γυναικὸς ἐκ τῆς οἰκίας αὐτὸν ἐκείνης θάπτειν, καὶ λεγούσης ὅτι βούλοιτ' ἂν αὐτὴ τὸ σῶμα τὸ ἐκείνου συμμεταχειρίζεσθαι μεθ' ἡμῶν καὶ κοσμῆσαι, καὶ ταῦτα ἱκετευούσης καὶ κλαιούσης, ἐπείσθην, ὦ ἄνδρες, καὶ τούτῳ προσελθὼν μαρτύρων ἐναντίον εἶπον ὅτι ἐντεῦθεν ποιήσομαι τὴν ταφήν· δεδεημένη γὰρ εἴη ταῦτα
23 ποιεῖν ἡ τούτου ἀδελφή. καὶ ταῦτα Διοκλῆς ἀκούσας οὐδὲν ἀντεῖπεν, ἀλλὰ καὶ ἐωνῆσθαί τι τῶν εἰς τὴν ταφήν, τῶν δὲ ἀρραβῶνα δεδωκέναι οὗτος φάσκων ταῦτα ἠξίου παρ' ἐμοῦ λαβεῖν, καὶ διωμολογήσατο τῶν μὲν ἠγορασμένων τὴν τιμὴν ἀπολαβεῖν, ὧν δὲ ἀρραβῶνα ἔφασκε

δεδωκέναι, συστῆσαι τοὺς λαβόντας. εὐθὺς οὖν τοῦτο παρεφθέγγετο, ὡς οὐδ' ὁτιοῦν εἴη Κίρων καταλελοιπώς, οὐδένα λόγον ἐμοῦ πω ποιουμένου περὶ τῶν ἐκείνου χρημάτων. καίτοι εἰ μὴ ἦν θυγατριδοῦς Κίρωνος, οὐκ ἂν 24
ταῦτα διωμολογεῖτο, ἀλλ' ἐκείνους ἂν τοὺς λόγους ἔλεγε „σὺ δὲ τίς εἶ; σοὶ δὲ τί προσήκει θάπτειν; οὐ γιγνώσκω σε· οὐ μὴ εἴσει εἰς τὴν οἰκίαν." ταῦτ' εἰπεῖν προσῆκεν, ἅ περ νῦν ἑτέρους πέπεικε λέγειν. νῦν δὲ τοιοῦτον μὲν οὐδὲν εἶπεν, εἰς ἕω δὲ τἀργύριον ἐκέλευεν εἰσενεγκεῖν. Καὶ ταῦτα ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Οὐ τοίνυν ἐκεῖνος μόνος, ἀλλ' οὐδὲ ὁ νῦν ἀμφισβη- 25
τῶν τοῦ κλήρου τοιοῦτον εἶπεν οὐδέν, ἀλλ' ὑπὸ τούτου παρασκευασθεὶς ἀμφισβητεῖ. κἀκείνου τὸ μὲν παρ' ἐμοῦ κομισθὲν ἀργύριον οὐκ ἐθελήσαντος ἀπολαβεῖν, παρὰ τούτου δ' ἀπειληφέναι τῇ ὑστεραίᾳ φάσκοντος, οὐκ ἐκωλυόμην συνθάπτειν ἀλλὰ πάντα συνεποίουν· οὐχ ὅπως τοῦδε ἀναλίσκοντος οὐδὲ Διοκλέους, ἀλλ' ἐξ ὧν ἐκεῖνος κατέλιπε γιγνομένων τῶν εἰς αὐτὸν ἀναλωμάτων. καίτοι καὶ τούτῳ 26
προσῆκεν, εἰ μὴ πάππος ἦν μοι Κίρων, ὠθεῖν καὶ ἐκβάλλειν καὶ κωλύειν (με) συνθάπτειν. οὐδὲν γὰρ ὅμοιον ἦν μοι πρὸς τοῦτον· ἐγὼ μὲν γὰρ εἴων αὐτὸν ἀδελφιδοῦν ὄντα τοῦ πάππου ταῦτα πάντα συμποιεῖν, τούτῳ δ' ἔμ' οὐ προσῆκεν ἐᾶν, εἴπερ ἀληθῆ ταῦτα ἦν ἅπερ νῦν λέγειν τολμῶσιν. ἀλλ' οὕτω τῇ τοῦ πράγματος ἀληθείᾳ κατε- 27

πέπληκτο, ὥστ' οὐδ' ἐπὶ τοῦ μνήματος ἐμοῦ ποιουμένου λόγους, καὶ κατηγοροῦντος Διοκλέους ὅτι τὰ χρήματα ἀποστερῶν τοῦτόν μοι πέπεικεν ἀμφισβητεῖν, οὐκ ἐτόλμησε γρῦξαι τὸ παράπαν οὐδὲν οὐδ' εἰπεῖν ἃ νῦν τολμᾷ λέγειν. Καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

28 Πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα; οὐκ ἐκ τῶν μαρτυριῶν; οἶμαί γε. πόθεν δὲ τοὺς μάρτυρας; οὐκ ἐκ τῶν βασάνων; εἰκός γε. πόθεν δ' ἀπιστεῖν τοῖς τούτων λόγοις; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; ἀνάγκη μεγάλη. πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε γνησίαν οὖσαν θυγατέρα Κίρωνος τὴν μητέρα τὴν ἐμὴν ἢ τοῦτον
29 τὸν τρόπον ἐπιδεικνύς; τῶν μὲν παλαιῶν ἀκοὴν μαρτυρούντων παρεχόμενος, τῶν δὲ ἔτι ζώντων τοὺς εἰδότας ἕκαστα τούτων, οἳ συνῄδεσαν παρ' ἐκείνῳ τρεφομένην, θυγατέρα νομιζομένην, δὶς ἐκδοθεῖσαν, δὶς ἐγγυηθεῖσαν, ἔτι δὲ περὶ πάντων τούτους βάσανον ἐξ οἰκετῶν πεφευγότας, οἳ ταῦτα πάντα ᾔδεσαν, ἔγωγε μὰ τοὺς θεοὺς Ὀλυμπίους οὐκ ἂν ἔχοιμι πίστεις μείζους τούτων εἰπεῖν, ἀλλ' ἱκανὰς εἶναι νομίζω τὰς εἰρημένας.

30 Φέρε δή, καὶ ὡς προσήκει ἐμοὶ μᾶλλον ἢ τούτῳ τῶν Κίρωνος χρημάτων, νῦν ἤδη τοῦτο ἐπιδείξω· καὶ νομίζω μὲν ἁπλῶς καὶ ὑμῖν ἤδη εἶναι φανερὸν ὅτι οὐκ ἐγγυτέρω τῆς ἀγχιστείας εἰσὶν οἱ μετ' ἐκείνου φύντες ἢ οἱ ἐξ ἐκείνου γεγονότες (πῶς γάρ; οἱ μὲν γὰρ ὀνομάζονται

συγγενεῖς, οἱ δ' ἔκγονοι τοῦ τελευτήσαντος)· οὐ μὴν ἀλλ'
ἐπειδὴ καὶ οὕτως ἐχόντων τολμῶσιν ἀμφισβητεῖν, καὶ
ἐξ αὐτῶν τῶν νόμων ἀκριβέστερον διδάξομεν· εἰ γὰρ ἔζη 31
μὲν ἡ ἐμὴ μήτηρ, θυγάτηρ δὲ Κίρωνος, μηδὲν δὲ ἐκεῖνος
διαθέμενος ἐτελεύτησεν, ἦν δὲ ἀδελφὸς οὗτος αὐτῷ, μὴ
ἀδελφιδοῦς, συνοικῆσαι μὲν ἂν τῇ γυναικὶ κύριος ἦν,
τῶν δὲ χρημάτων οὐκ ἄν, ἀλλ' οἱ γενόμενοι παῖδες ἐκ
τούτου καὶ ἐξ ἐκείνης, ὁπότε ἐπὶ δίετες ἥβησαν· οὕτω
γὰρ οἱ νόμοι κελεύουσιν. εἰ τοίνυν καὶ ζώσης κύριος αὐτὸς
μὴ ἐγένετο τῶν τῆς γυναικός, ἀλλ' οἱ παῖδες, δῆλον
ὅτι καὶ τελευτηκυίας, ἐπεὶ παῖδας ἡμᾶς καταλέλοιπεν,
οὐ τούτοις ἀλλ' ἡμῖν προσήκει κληρονομεῖν τῶν χρημάτων.

Οὐ τοίνυν ἐκ τούτου μόνον, ἀλλὰ καὶ ἐκ τοῦ περὶ 32
τῆς κακώσεως νόμου δῆλόν ἐστιν. εἰ γὰρ ἔζη μὲν ὁ
πάππος, ἐνδεὴς δὲ ἦν τῶν ἐπιτηδείων, οὐκ ἂν οὗτος
ὑπόδικος ἦν τῆς κακώσεως ἀλλ' ἡμεῖς. κελεύει γὰρ τρέ-
φειν τοὺς γονέας· γονεῖς δ' εἰσὶ μήτηρ καὶ πατὴρ καὶ
πάππος καὶ τήθη καὶ τούτων μήτηρ καὶ πατήρ, ἐὰν ἔτι
ζῶσιν· ἐκεῖνοι γὰρ ἀρχὴ τοῦ γένους εἰσί, καὶ τὰ ἐκείνων
παραδίδοται τοῖς ἐκγόνοις· διόπερ ἀνάγκη τρέφειν αὐτούς
ἐστι, κἂν μηδὲν καταλίπωσι. πῶς οὖν δίκαιόν ἐστιν, ἐὰν
μὲν μηδὲν καταλίπωσιν, ἡμᾶς ὑποδίκους εἶναι τῆς κακώ-
σεως, ἢν μὴ τρέφωμεν, εἰ δέ τι καταλελοίπασι, τόνδ'
εἶναι κληρονόμον ἀλλὰ μὴ ἡμᾶς; οὐδαμῶς δήπουθεν.

Πρὸς ἕνα δὲ τὸν πρῶτον τῶν συγγενῶν προσάξω, καὶ 33
τοῦ γένους καθ' ἕκαστον ὑμᾶς ἐρωτήσω· ῥᾷστα γὰρ
οὕτω μάθοιτ' ἄν. Κίρωνος πότερον θυγάτηρ ἢ ἀδελφὸς

ἐγγυτέρω τοῦ γένους ἐστί; δῆλον γὰρ ὅτι θυγάτηρ· ἡ
μὲν γὰρ ἐξ ἐκείνου γέγονεν, ὁ δὲ μετ' ἐκείνου. θυγατρὸς
δὲ παῖδες ἢ ἀδελφός; παῖδες δήπουθεν· γένος γὰρ ἀλλ'
οὐχὶ συγγένεια τοῦτ' ἐστίν. εἰ δὴ προέχομεν ἀδελφοῦ
τοσοῦτον, ἦ που τοῦδέ γ' ὄντος ἀδελφιδοῦ πάμπολυ
34 πρότεροί ἐσμεν. Δέδοικα δὲ μὴ λίαν ὁμολογούμενα λέγων
ἐνοχλεῖν ὑμῖν δόξω· πάντες γὰρ ὑμεῖς τῶν πατρῴων,
τῶν παππῴων, τῶν ἔτι περαιτέρω κληρονομεῖτε ἐκ γένους
παρειληφότες τὴν ἀγχιστείαν ἀνεπίδικον, καὶ οὐκ οἶδ'
εἴ τινι πρὸ τοῦ πώποτε τοιοῦτος ἀγὼν συμβέβηκεν. ἀνα-
γνοὺς οὖν τὸν τῆς κακώσεως νόμον, ὧν ἕνεκα ταῦτα (πάντα)
γίγνεται, καὶ ταῦτ' ἤδη πειράσομαι διδάσκειν.

## ΝΟΜΟΣ.

35 Κίρων γὰρ ἐκέκτητο οὐσίαν, ὦ ἄνδρες, ἀγρὸν μὲν
Φλυῆσι, καὶ ταλάντου ῥᾳδίως ἄξιον, οἰκίας δ' ἐν ἄστει
δύο, τὴν μὲν μίαν μισθοφοροῦσαν, παρὰ τὸ ἐν Λίμναις
Διονύσιον, [δισ]χιλίας εὑρίσκουσαν, τὴν δ' ἑτέραν, ἐν
ᾗ αὐτὸς ᾤκει, τριῶν καὶ δέκα μνῶν· ἔτι δὲ ἀνδρά-
ποδα μισθοφοροῦντα . . . καὶ δύο θεραπαίνας καὶ παιδί-
σκην, καὶ ἔπιπλα δι' ὧν ᾤκει τὴν οἰκίαν, σχεδὸν σὺν
τοῖς ἀνδραπόδοις ἄξια τρισκαίδεκα μνῶν· σύμπαντα δὲ
ὅσα φανερὰ ἦν, πλέον ἢ ἐνενήκοντα μνῶν· χωρὶς δὲ
τούτων δανείσματα οὐκ ὀλίγα, ἀφ' ὧν ἐκεῖνος τόκους
36 ἐλάμβανε. τούτοις Διοκλῆς μετὰ τῆς ἀδελφῆς πάλαι
ἐπεβούλευεν, ἐπειδὴ τάχιστα οἱ παῖδες οἱ Κίρωνος ἐτε-
λεύτησαν. ἐκείνην [μὲν] γὰρ οὐκ ἐξεδίδου δυναμένην ἔτι

τεκεῖν παῖδας ἐξ ἑτέρου ἀνδρός, ἵνα μὴ χωρισθείσης περὶ
τῶν αὑτοῦ βουλεύσαιτο καθάπερ προσῆκεν, ἔπειθε δὲ
μένειν ἀεὶ φάσκουσαν ἐξ αὐτοῦ κυεῖν οἴεσθαι, προσποιου-
μένην δὲ διαφθείρειν ἄκουσαν, ἵν' ἐλπίζων ἔτι γενήσεσθαι
παῖδας αὐτῷ μηδέτερον ἡμῶν εἰσποιήσαιτο υἱόν· καὶ
τὸν πατέρα διέβαλλεν φάσκων αὐτὸν ἐπιβουλεύειν τοῖς
ἐκείνου. τά τε οὖν χρέα πάντα ὅσα ὠφείλετο αὐτῷ, 37
καὶ τοὺς τόκους ἔπειθε (πράττεσθαι), τά τε φανερὰ
δι' αὑτοῦ ποιεῖσθαι, παράγων ἄνδρα πρεσβύτερον θερα-
πείαις καὶ κολακείαις, ἕως ἅπαντα τὰ ἐκείνου περιέ-
λαβεν. εἰδὼς δὲ ὅτι πάντων ἐγὼ τούτων κατὰ τὸ προ-
σῆκον εἶναι κύριος ζητήσω, ὁπότε ὁ πάππος ἐτελεύ-
τησεν, εἰσιέναι μέν με καὶ θεραπεύειν ἐκεῖνον καὶ συν-
διατρίβειν οὐκ ἐκώλυε, δεδιὼς μὴ τραχυνθεὶς εἰς ὀργὴν
καταστταίην πρὸς αὐτόν, παρεσκεύαζε δέ μοι τὸν ἀμφισ-
βητήσοντα τῆς οὐσίας, μέρος πολλοστὸν τούτῳ μεταδι-
δοὺς εἰ κατορθώσειεν, αὑτῷ δὲ ταῦτα πάντα περιποιῶν,
καὶ οὐδὲ πρὸς τοῦτον ὁμολογῶν τὸν πάππον χρήματα
καταλιπεῖν, ἀλλ' εἶναι φάσκων οὐδέν. καὶ ἐπειδὴ τά- 38
χιστα ἐτελεύτησεν, ἐντάφια προπαρασκευασάμενος τὸ
μὲν ἀργύριον ἐμὲ ἐκέλευεν ἐνεγκεῖν, ὡς τῶν μαρτύρων
ἠκούσατε μαρτυρησάντων, ἀπειληφέναι δὲ παρὰ τοῦδε
προσεποιεῖτο, παρ' ἐμοῦ δὲ οὐκέτι ἤθελεν ἀπολαβεῖν,
ὑποπαραθῶν, ὅπως ἐκεῖνος δοκοίη θάπτειν ἀλλὰ μὴ
ἐγὼ τὸν πάππον. ἀμφισβητοῦντος δὲ τούτου καὶ τῆς
οἰκίας ταύτης καὶ τῶν ἄλλων ὧν ἐκεῖνος κατέλιπε,
καίπερ οὐδὲν φάσκοντος καταλελοιπέναι, βιάσασθαι μὲν

καὶ τὸν πάππον μεταφέρειν ἐν ταῖς τοιαύταις ἀκαι-
ρίαις οὐκ ᾤμην δεῖν, τῶν φίλων μοι ταὐτὰ γιγνωσκόντων,
συνεποίουν δὲ (πάντα) καὶ συνέθαπτον, ἐξ ὧν ὁ πάππος
39 κατέλιπε τῶν ἀναλωμάτων γιγνομένων. καὶ ταῦτα μὲν
οὕτως ἀναγκασθεὶς ἔπραξα τοῦτον τὸν τρόπον· ὅπως δὲ
μηδέν μου ταύτῃ πλεονεκτοῖεν, παρ' ὑμῖν φάσκοντες
οὐδέν με εἰς τὴν ταφὴν ἀνηλωκέναι, τὸν ἐξηγητὴν ἐρό-
μενος ἐκείνου κελεύσαντος ἀνήλωσα παρ' ἐμαυτοῦ καὶ
τὰ ἔνατα ἐπήνεγκον, ὡς οἷόν σε κάλλιστα παρασκευά-
σας, ἵνα αὐτῶν ἐκκόψαιμι ταύτην τὴν ἱεροσυλίαν, καὶ
ἵνα μὴ δοκοῖεν οὗτοι μὲν ἀνηλωκέναι πάντα, ἐγὼ δὲ
μηδέν, ἀλλ' ὁμοίως κἀγώ.

40 Καὶ τὰ μὲν γεγενημένα, καὶ δι' ἃ τὰ πράγματα
ταῦτ' ἔχομεν, σχεδόν τι ταῦτ' ἐστίν, ὦ ἄνδρες· εἰ δὲ
εἰδείητε τὴν Διοκλέους ἀναισχυντίαν, καὶ περὶ τὰ ἄλλα
οἷός ἐστιν, οὐκ ἂν ἀπιστήσαιτ' ἴσως τῶν εἰρημένων οὐδενί.
οὗτος μὲν γὰρ ἔχει τὴν οὐσίαν, ἀφ' ἧς νῦν ἐστι λαμ-
πρός, ἀλλοτρίαν ἀδελφῶν τριῶν ὁμομητρίων ἐπικλήρων
καταλειφθεισῶν αὐτὸν τῷ πατρὶ αὐτῶν εἰσποιήσας, οὐδε-
41 μίαν ἐκείνου περὶ τούτων ποιησαμένου διαθήκην. τοῖν δ'
ἀδελφαῖν τοῖν δυοῖν ἐπειδὴ τὰ χρήματα εἰσεπράττετο
ὑπὸ τῶν ἐκείναις συνοικούντων, τὸν μὲν τὴν πρεσβυτέραν
ἔχοντα κατοικοδομήσας καὶ ἐπιβουλεύσας ἠτίμωσε, καὶ
γραφὴν ὕβρεως γραφεὶς οὐδέπω τούτων δίκην δέδωκε,
τῆς δὲ μετ' ἐκείνην γενομένης τὸν ἄνδρα ἀποκτεῖναι
κελεύσας οἰκέτην ἐκεῖνον μὲν ἐξέπεμψε, τὴν δ' αἰτίαν
42 εἰς τὴν ἀδελφὴν ἔτρεψε, καταπλήξας δὲ ταῖς αὑτοῦ

βδελυρίας προσαφήρηται τὸν υἱὸν αὐτοῦ τὴν οὐσίαν ἐπιτροπεύσας, καὶ κατέχει τὸν ἀγρόν, Φελλέα δ' ἐκείνῳ δέδωκε. καὶ ταῦτα ὅτι ἀληθῆ λέγω, δεδίασι μὲν αὐτόν, ἴσως δ' ἂν μοι καὶ μαρτυρῆσαι ἐθελήσειαν· εἰ δὲ μή, τοὺς εἰδότας παρέξομαι μάρτυρας. Καί μοι κάλει δεῦρο αὐτοὺς πρῶτον.

ΜΑΡΤΥΡΕΣ.

Οὕτω τοίνυν ἀσελγὴς ὢν καὶ βίαιος καὶ τὴν τῶν 43
ἀδελφῶν οὐσίαν ἀπεστερηκὼς οὐκ ἀγαπᾷ τὰ ἐκείνων ἔχων, ἀλλ' ὅτι δίκην οὐδεμίαν αὐτῶν δέδωκεν, ἥκει καὶ τὰ τοῦ πάππου χρήματα ἡμᾶς ἀποστερήσων, καὶ τούτῳ δύο μνᾶς (ὡς ἀκούομεν) μόνας δεδωκὼς οὐ μόνον περὶ χρημάτων ἡμᾶς ἀλλὰ καὶ περὶ τῆς πατρίδος εἰς κινδύνους καθίστησιν. ἐὰν γὰρ ἐξαπατηθῆτε ὑμεῖς πεισθέντες ὡς ἡ μήτηρ ἡμῶν οὐκ ἦν πολῖτις, οὐδ' ἡμεῖς ἐσμεν· μετ' Εὐκλείδην γὰρ ἄρχοντα γεγόναμεν. ἆρα περὶ μικρῶν
τινῶν ἡμῖν τὸν ἀγῶνα κατεσκεύακε; καὶ ζῶντος μὲν τοῦ 44
πάππου καὶ τοῦ πατρὸς οὐδεμίαν αἰτίαν εἴχομεν, ἀλλ' ἀναμφισβήτητοι τὸν ἅπαντα χρόνον διετελέσαμεν· ἐπειδὴ δ' ἐκεῖνοι τετελευτήκασι, κἂν νῦν νικήσωμεν, ὄνειδος ἕξομεν, διότι ἠμφισβητήθημεν, διὰ τὸν Ὀρέστην τοῦτον τὸν κακῶς ἀπολούμενον, ὃς μοιχὸς ληφθεὶς καὶ παθὼν ὅ τι προσήκει τοὺς τὰ τοιαῦτα ποιοῦντας οὐδ' ὣς ἀπαλλάττεται τοῦ πράγματος, ὡς οἱ συνειδότες καταμαρτυροῦσι. τοῦτον μὲν οὖν, οἷός ἐστι, καὶ νῦν ἀκούετε καὶ αὖθις ἀκριβέστερον πεύσεσθε, ὅταν κατ' αὐτοῦ τὴν δίκην

45 ἡμεῖς εἰσίωμεν· ὑμῶν δ' ἐγὼ δέομαι καὶ ἱκετεύω, μή
με περιίδητε περὶ τούτων ὑβρισθέντα τῶν χρημάτων ὧν
ὁ πάππος κατέλιπε, μηδ' ἀποστερηθέντα, ἀλλὰ βοηθή-
σατε καθ' ὅσον ὑμῶν ἕκαστος τυγχάνει δυνάμενος. ἔχετε
δὲ πίστεις ἱκανὰς ἐκ μαρτυριῶν, ἐκ βασάνων, ἐξ αὐτῶν
τῶν νόμων, ὅτι τ' ἐσμὲν ἐκ θυγατρὸς γνησίας Κίρωνος,
καὶ ὅτι προσήκει ἡμῖν μᾶλλον ἢ τούτοις κληρονομεῖν τῶν
ἐκείνου χρημάτων, [ἐκγόνοις οὖσι τοῦ πάππου.] μνησθέντες
46 οὖν καὶ τῶν ὅρκων οὓς ὀμόσαντες δικάζετε, καὶ τῶν
λόγων οὓς εἰρήκαμεν, καὶ τῶν νόμων, ᾗ δίκαιόν ἐστι,
ταύτῃ τὴν ψῆφον τίθεσθε.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. Λαβὲ δ' αὐτοῖς τὴν μαρτυρίαν τὴν λοιπήν, ὡς ἐλήφθη μοιχός, καὶ ἀνάγνωθι.

# ANNOTATIONES.

# ANNOTATIONES.

---

## AEGINETICUS.

§ 2. *τοὐναντίον δὲ πέπονθα . . . . .*

Est locus communis. v. c. Lys. XXIV 1: Οὐ πολλοῦ δέω χάριν ἔχειν, ὦ βουλή, τῷ κατηγόρῳ, ὅτι μοι παρέσκευασε τὸν ἀγῶνα τουτονί. Πρότερον γὰρ οὐκ ἔχων πρόφασιν ἐφ' ἧς τοῦ βίου λόγον δοίην, νυνὶ διὰ τοῦτον εἴληφα.

Lys XVI 1. Εἰ μὴ συνῄδειν, ὦ βουλή, τοῖς κατηγόροις βουλομένοις ἐκ παντὸς τρόπου κακῶς με ποιεῖν, πολλὴν ἂν αὐτοῖς χάριν εἶχον ταύτης τῆς κατηγορίας· ἡγοῦμαι γὰρ τοῖς ἀδίκως διαβεβλημένοις τούτους εἶναι μεγίστων ἀγαθῶν αἰτίους, οἵτινες ἂν αὐτοὺς ἀναγκάζωσιν εἰς ἔλεγχον τῶν αὐτοῖς βεβιωμένων καταστῆναι.

Oratores Attici de rebus similibus agentes fere iisdem vocibus utuntur; nonnullae orationes, inprimis illae quibus tractantur res privatae, colore tam simili tinctae sunt, ut vix dignoscas, utrum

Demosthenes an Isocrates, Isaeus an Lysias auctor fuerit.

§ 3. Ἐπιδικάζει iudex, ἐπιδικάζεται petitor.

Τὸν οἶκον ἔρημον ποιῆσαι.

Vid. Isaei or. VII 30. Πάντες γὰρ οἱ τελευτήσειν μέλλοντες πρόνοιαν ποιοῦνται σφῶν αὐτῶν, ὅπως μὴ ἐξερημώσουσι τοὺς σφετέρους αὑτῶν οἴκους, ἀλλ' ἔσται τις [καὶ] ὁ ἐναγιῶν (qui manibus suis inferat inferias) καὶ πάντα τὰ νομιζόμενα αὐτοῖς ποιήσων· δι' ὃ κἂν ἄπαιδες τελευτήσωσιν, ἀλλ' οὖν (υἱὸν) ποιησάμενοι καταλείπουσι. καὶ οὐ μόνον ἰδίᾳ ταῦτα γιγνώσκουσιν, ἀλλὰ καὶ δημοσίᾳ τὸ κοινὸν τῆς πόλεως ταὔτ' ἔγνωκε· νόμῳ γὰρ τῷ ἄρχοντι τῶν οἴκων, ὅπως ἂν μὴ ἐξερημῶνται, προστάττει τὴν ἐπιμέλειαν. Cf. Isaei or. VI. 13. 36. De ritibus vid. Isaei Or. VII, 15 sq. Cf. J. Kapp. v. d. Coppello, Beschouwingen over de Comitia, pag. 55. Quo loco legimus i. a. haec. „Doch het voornaamste geloofsartikel vooral der patriciërs was, dat de schim van een' afgestorvene niet tot rust kon komen, wanneer niet voor hem de verschuldigde lijkdiensten waren gedaan. Dit werkte als een krachtige drijfveer op hem, die geen naasten bloedverwant had of dien niet genoeg vertrouwde, om zich door aanneming ter zake des doods een' lijkbezorger, die de plaats van een zoon bekleedde, te verschaffen. Citat Suet. Calig. 59. Ov. Fast., II. 553. Serv. in Aen. III. 63, 168 et Grady, Hindu-

law. 30. Sonship being indispensable to the Hindu, his marriage is mainly directed to that object with a view to the procreation of a fitting person to perform exequial rites and discharge his ancestors debts or spiritual obligations and so important are these held to be by Hindus that, if marriage should fail in its object, they must have recourse to the expedient of adoption, by which a substitute for a natural born son is obtained. Cf. etiam Rhein. Mus. Ergänzungsheft. das Recht von Gortyn.

Neue Folge. 40er Band.

§ 4. ὅθεν δ' οἶμαι ..... locus communis. V. e. c. Isaei Or. I. 8: ὅθεν δ' οἶμαι τάχιστ' ἂν ὑμᾶς μαθεῖν περὶ ὧν ἀμφισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διδάσκειν, et al.

§ 5. De vatibus Graecorum vid. Schoemann, Gr. Alt. II. p. 291 sq.

§ 7. Insulae hac in parte orationis nominatae, foederi maritimo ab Atheniensibus renovato, aº 378, adstiterunt.

Σίφνος, una e Cycladibus.

Her. III. 57. Νησιωτέων μάλιστα ἐπλούτεον (οἱ Σίφνιοι), ἅτε ἐόντων αὐτοῖσι ἐν τῇ νήσῳ χρυσέων καὶ ἀργυρέων μετάλλων.

Paus. lib, X. c. 11. § 2. Ἐποιήθη δὲ καὶ ὑπὸ Σιφνίων ἐπὶ αἰτίᾳ τοιᾷδε θησαυρός. (Delphis) Σιφνίων ἡ νῆσος χρυσοῦ μέταλλα ἤνεγκε, καὶ αὐτοὺς τῶν προσιόντων ἐκέλευσεν ὁ θεὸς ἀποφέρειν δεκάτην ἐς Δελφούς·

οἱ δὲ τὸν θήσαυρον ᾠκοδομήσαντο, καὶ ἀπέφερον τὴν δεκάτην. ὡς δὲ ὑπ' ἀπληστίας ἐξέλιπον τὴν φορὰν, ἐπικλύσασα ἡ θάλασσα ἀφανῆ τὰ μέταλλά σφισιν ἐποίησεν.

Certe Siphniorum opes postea valde imminutae sunt. Vid. [Demosth.] περὶ συντάξεως. 34. Εἰ μὲν οὖν Σιφνίοις ἢ Κυθνίοις ἤ τισιν ἄλλοις τοιούτοις οὖσι συνῄδειν ὑμῖν, ἔλαττον φρονεῖν συνεβούλευον ἄν, ἐπειδὴ δ' ἔστ' Ἀθηναῖοι, τὸ τὴν δύναμιν παρασκευάσασθαι παραινῶ.

Hodie haec insula nominatur Sipheno vel Sifanto. Vid. de his insulis Bursian, Geogr. v. Griech. II. 438.

§ 9. Σέριφος altera Cycladum, hodie Serphos. Alveus fluitans, in quo mari expositi erant Danaë eiusque filiolus Perseus, ad hanc insulam appulsus esse fertur, εἰναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων. Sim. Cei carmen 37. Cf. Pind. Pyth. XII, 11, sq.

Cic. de N. D. I, 31. „Quae sunt tantae animi angustiae, ut, si Seriphi natus esses nec unquam egressus ex insula, in qua lepusculos vulpeculasque saepe vidisses non crederes leones et pantheras esse, quum tibi, quales essent diceretur, si vero de elephanto quis diceret, etiam rideri te putares?"

Loquitur Cotta de eo qui nihil esse credet quod non ipse viderit.

Plato, Pol. I, 329 e. Cf. Arist. Ach. vs. 542.

Plut. Them. 18. Σεριφίου δέ τινος πρὸς αὐτὸν (Θεμιστοκλέα) εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν· „'Αληθῆ λέγεις," εἶπεν „ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ 'Αθηναῖος." Cf. Cic. Cato M. c. 3.

Seriphii igitur innotuisse videntur angustiis animi.

Κληρονόμους τῶν αὐτοῦ καταστήσας. Filia etiam inter heredes nominatur quia est ἐπίπροικος ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου, ὥστε προῖκα ἔχειν, ἀδελφῶν αὐτῇ ὄντων. Harp. i. v. ἐπίδικος.

§ 11. Φθόῃ σχόμενον vulgo legitur. Dubito an rectum sit. Blassius contendit satis constare σχέσθαι sensu passivo usurpari et citat Plat. Soph. 250 D, συνεσχόμεθα, quo loco πάσῃ συνειχόμεθα ἀπορίᾳ legendum esse videtur. Deinde contendit B. alia exempla inveniri apud Kühnerum, Synt. p. 102 sq. K. vero σχέσθαι non nisi specie usurpari sensu passivo probare conatur. Kühn. Synt. § 400. 2.

Φθόη idem esse videtur ac phtisis. Φθόη τίς ἐστιν ἡ (νῦν) λεγομένη φθίσις (glossa). J. Bekkerus hanc vocem vertit (Plat Leg.. 916. a.) phrenesin.

§ 12. Τὸν νόμον τὸν Αἰγινητῶν.

Quare nominatim addit τὸν Αἰγινητῶν, coram Aeginetis causam agens? Quidni dicit: τὸν νόμον τὸν παρ' ὑμῖν κείμενον? Ita § 24 et 31 εἰς Αἴγιναν, non δεῦρο dicit. Fieri potest ut Isocrates hanc

orationem, fortasse nunquam habitam, scribens oblitus sit se finxisse actorem verba facientem Aeginae, non Athenis.

§ 13. Insula Κέως, e regione promontorii Sunii sita, (hodie Tzia vel Tschia) est patria Simonidis et Bacchylidis, qui Iulide, in urbe insulae nati sunt.

Κατὰ τὸν νόμον ... ὃς τοὺς ὁμοίους κελεύει παῖδας εἰσποιεῖσθαι

Lege hac prohibebatur in illis civitatibus in quibus optimates praevalebant, quominus ordines miscerentur. Athenis vero post Solonem talis lex non valuisse videtur. Dem. in Lept. 102 ... ὁ μὲν Σόλων ἔθηκε νόμον ἐξεῖναι δοῦναι τὰ ἑαυτοῦ ᾧ ἄν τις βούληται, ἐὰν μὴ παῖδες ὦσι γνήσιοι, οὐχ ἵν' ἀποστερήσῃ τοὺς ἐγγυτάτω γένει τῆς ἀγχιστείας, ἀλλ' ἵν' εἰς τὸ μέσον καταθεὶς τὴν ὠφέλειαν ἐφάμιλλον ποιήσῃ τὸ ποιεῖν ἀλλήλους εὖ.

Romae ante legem Canuleiam fieri non poterat arrogatio, nisi a partibus eiusdem ordinis.

§ 18. De illo Pasino nihil comperti habeo. Ieiune Harp. i. v.: ὄνομα κύριον, et nihil aliud nobiscum communicat.

§ 19. Τῶν ἡμετέρων φυγάδων i. e. eorum qui e patria dicentis extorres facti erant ipsiusque adversarii.

§ 20. Ἐκ τῆς πόλεως, ex insula Siphno.

§ 21. Φλαῦρον δ' οὐδὲν ἀπέλαυσα, i. e. κακῷ δ' οὐδενὶ ἐχρησάμην. Vid. Isae II. 7.

De insula Melo Vid. Her. VIII 46. 48; Thuc. III, c. 91, V c. 84—116. Λιμὸς Μήλιος, Arist. Aves. vs. 186.

§ 23. Cum Nabero scribendum puto μετοικισάμενος. Vulgo κατοικισάμενος. Virgulam transposui; sensus enim est: postquam migravi ut illi gratificarer, Troezene talibus affectus sum malis, cet. § 24 εἰς Αἴγιναν κατοικισάμενος non moveo.

§ 25. Ἐπισκοπεῖν, vox propria de visitando aegrotos.

§ 25. Νοσηλεύειν (idem ac θεραπεύειν) apud scriptores Atticos non inveni. Fortasse legendum est ἐθεράπευον.

Soph. Phil. 39 legitur νοσήλεια quae vox accipitur de sanie. Apud Plutarch. Lyc. 70 eadem vox occurrit significans θεράπειαν.

§ 26. Ὅς refertur ad (νοσοῦντα) τοιαύτην νόσον. Cf. § 28 τοιοῦτον νόσημα .... θεραπεύσειεν.

§ 29. Λέγοντες, ὡς οἱ πλεῖστοι τῶν θεραπευσάντων ταύτην τὴν νόσον αὐτοὶ προσδιεφθάρησαν.

Iste morbus si phtisis fuerit, veteres iam credidisse videntur, hanc pestem fuisse contagiosam.

Ἀδελφίζειν· ἀδελφὸν καλεῖν ἢ τιμᾶν ὡς ἀδελφόν. Hes.

§ 33. Οὔτ' ἀποθανὼν τῶν νομιζομένων ἠξιώθη ....

Vid. i. a. Isaei Or. VIII 21 sq. Is. IV 19 legimus: Πῶς οὐκ ἂν ἀνοσιώτατος εἴη, ὃς τῷ τεθνεῶτι μηδὲν τῶν νομιζομένων ποιήσας τῶν χρημάτων αὐτοῦ κληρονομεῖν ἀξιοῖ;

Satis constat quantum valeret apud veteres cura, nedum cultus mortuorum. Ceterum ex omnibus fere orationibus testamentariis videmus, quam facile esset apud Athenienses τὸ ἐπιβουλεύειν ταῖς διαθήκαις.

§ 34. Proprio sensu mulieres nullo modo κυρίαι erant. Vid. Hermann, Lehrb. der Griech. Ant. I 1. p. 457. (5a editio).

§ 35. Ἐπὶ τῇ τύχῃ i. e. fortunae obnoxiam.

§ 39. Ἀλλὰ λιποψυχοῦντα. Ita lego auctore Cobeto. Vulgo ἀλλ' ὀλιγοψυχοῦντα.

§ 42. Εἴ τίς ἐστιν αἴσθησις κτέ. Locus communis.

§ 43. Διάδοχοι sunt illi qui deinceps hereditatem accipiunt, successores. Isae. VII, 14 διάδοχον τῆς οὐσίας. Alio sensu Lys. XXIV. 6. διαδεξόμενον. Dem. L 57. τὸν νόμον ... τὸν περὶ τῶν διαδόχων et passim διαδέχεσθαι τὴν ναῦν, διαδοχὴ νεώς.

§ 44. Δεδώκασιν ... scil. οἱ παῖδες Θρασύλλου. Alii scribunt hoc nomen una littera λ.

§ 46. Ἥδιον. Vid. Analecta Isocratea, comp. Bruno Keil. p. 138.

§ 51. Δέομαι οὖν ὑμῶν .... τοιούτους μοι γενέσθαι δικάστας, οἵων περ ἂν αὐτοὶ τυχεῖν ἀξιώσαιτε.

Locus communis. Cf. Lys. I. 1. Isoc. XV. 23.

## EXCURSUS DE INSULA AEGINA.

---

Antiquis temporibus insula Aegina una omnium excelluit maxime opibus maritimis, Thuc. I. 14. Pindarus Aeginetarum eos qui vicerant in ludis circensibus laudibus extulit complures, celebrans claram insulam heroasque Aeacidas.

Pindari fragmentum:

Κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσίκλυτος
Αἴγινα· σὺν θεῶν δέ νιν αἴσᾳ
Ὕλλου τε καὶ Αἰγιμιοῦ
Δωριεὺς ἐλθὼν στρατὸς ἐκτίσσατο.
Τῶν μὲν ὑπὸ στάθμᾳ νέμονται
Οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες·
Οἷοι δ' ἀρετὰν
Δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ
Μοισᾶν ἀγωνίων τ' ἀέθλων.

Vid. Pindari carmina alia plura.

Fortissime certaverunt contra Persas Aeginetae in pugna Salaminia.

Νησιωτέων δὲ, Αἰγινῆται τριήκοντα παρείχοντο (scil. νέας). ἦσαν μέν σφι καὶ ἄλλαι πεπληρωμέναι νέες, ἀλλὰ τῇσι μὲν τὴν ἑωυτῶν ἐφύλασσον, τριήκοντα δὲ τῇσι ἄριστα πλωούσῃσι ἐν Σαλαμῖνι ἐναυμάχησαν. Αἰγινῆται δέ εἰσι Δωριέες, ἀπὸ Ἐπιδαύρου· τῇ δὲ νήσῳ πρότερον οὔνομα ἦν Οἰνώνη. Her. VIII 46.

Ov. Met. VIII. 472.

Oenopiam Minos petit, Aeacideïa regna:
Oenopiam veteres adpellavere, sed ipse
Aeacus Aeginam Genetricis nomine dixit.

Ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται· — ἀνδρῶν δὲ, Πολύκριτός τε, ὁ Αἰγινήτης. Her. l. l. 93.

Multis aliis locis Herodotus Aeginetarum res gestas enarrat unde apparet eos eo tempore admodum floruisse opibus et gloria militari; postquam vero Athenienses nacti sunt ἀνυπέρβλητον δύναμιν, Aeginetae, iniquum Martem passi, (457 a. C) ὡμολόγησαν τοῖς Ἀθηναίοις, τείχη τε περιελόντες, καὶ ναῦς παραδόντες, φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. Thuc. I 105. 108 (Cf. Plut. Per. c. 8).

Olim etiam artibus floruit insula, inprimis sculpturae quod facile coniicimus ex signis templi Palladis, fastigio allatis, quae a° 1811 effossae sunt et reparatae. (Hodie reperiuntur in pinacotheca Monachii).

Ut redeamus ad historiam, Aegina insula et

Athenarum urbs pacem servare non poterant diu, nam Athenis insulae vicinitas periculosior erat et insulani aequo animo aspicere nequibant urbem omnia superantem. Vid. Aesch. II. 173. Ab utra parte ergo starent Aeginetae in bello peloponnesiaco, satis intelligitur.

Thuc. I 67. *Αἰγινῆταί τε Φανερῶς μὲν οὐ πρεσβευόμενοι* (ad Spartanas), *δεδιότες τοὺς Ἀθηναίους, κρύφα δὲ, οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον, λέγοντες οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς.* Quod iis stetit patria. Thuc. II 27. *Ἀνέστησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ* (431 a. C.) *ἐξ Αἰγίνης Ἀθηναῖοι αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἐφαίνετο, τῇ Πελοποννήσῳ ἐπικειμένην, αὐτῶν πέμψαντας ἐποίκους ἔχειν. καὶ ἐξέπεμψαν ὕστερον οὐ πολλῷ ἐς αὐτὴν τοὺς οἰκήτορας. ἐκπεσοῦσι δὲ τοῖς Αἰγινήταις οἱ Λακεδαιμόνιοι ἔδοσαν Θυρέαν οἰκεῖν καὶ τὴν γῆν νέμεσθαι, κατά τε τὸ Ἀθηναίων διάφορον καὶ ὅτι σφῶν εὐεργέται ἦσαν ὑπὸ τὸν σεισμὸν καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν. ἡ δὲ Θυρεᾶτις μεθορία τῆς Ἀργείας καὶ Λακωνικῆς ἐστιν ἐπὶ θάλασσαν καθήκουσα. Καὶ οἱ μὲν αὐτῶν ἐνταῦθα ᾤκησαν, οἱ δ' ἐσπάρησαν κατὰ τὴν ἄλλην Ἑλλάδα.* Cf. Thuc. IV. 56. Ar. Acharn. 651. Plut. Per. 28, 34. Thuc. VII 57. *Αἰγινῆται, οἳ τότε Αἴγιναν εἶχον ... ἄποικοι ὄντες, ξυνεστράτευσαν* (*ἐπὶ Συρακουσίους*) 415 a. C.

A° 424. Thyrea capta omnes Aeginetae ibi correpti ab Atheniensibus occisi sunt. Thuc. IV. 57.

A° 405. Λύσανδρος ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε τὴν πόλιν Αἰγινήταις, ὅσους ἐδύνατο πλείστους ἀθροίσας αὐτῶν. Xen. Hell. II. 2.

A° 388. Athenienses frustra Aeginam obsident. Hell. V. I.

Athenienses dicuntur esse ἀποκναιόμενοι ... ληστείαις ἐξ Αἰγίνης. Xen. Hell. VI 2. 1. Cf. Dem. 1248; Dem., 690, 27. Aeginetas denominat νῆσον οἰκοῦντας οὕτω μικρὰν καὶ οὐδὲν ἔχοντας ἐφ' ᾧ μέγα χρὴ φρονεῖν αὐτούς.

Αἰγιναία ἐμπολή. Χελῶναι. Ὀβολοὶ Αἰγιναῖοι. Δραχμαὶ Αἰγ.. Στατῆρες Αἰγ..

Vid. Ar. Acharn. 653 ed. van Leeuwen, et Ar. Ran., 363.

De templis et signis Paus. II 29—30.

Operae pretium erit historiam persequi insularum Graeciae usque ad nostram aetatem. Vehementer vero spero fore ut surgat aliquis qui nobis perscribat historiam Graeciae totius, omnes aetates percurrens omnibusque ante oculos ponens, quid valuerit Hellas toti generi humano.

## DE CIRONIS HEREDITATE.

---

§ 5. Ἔστι μὲν οὖν χαλεπόν, κ. τ. ἑ.

Cf. Dem. in Aphobum A 2. Fere iisdem verbis utitur praeter haec: ἂν μή τι συμβῇ τοιοῦτον ὃ νῦν ὑπ' ἐμοῦ τυγχάνει προσδοκώμενον.

Non perspicuum est quid vereatur actor; ne decipiantur iudices illius facundia (§ 3)?

Deesse pauca suspicor post προσδοκώμενον, quibus indicaverit actor causam timoris. Vid. tamen § 43.

§ 6. Τὰ μὲν πάλαι γεγενημένα λόγων ἀκοῇ καὶ μαρτύρων κ. τ. ἑ.

Hic locus corruptus esse mihi videtur. Alii alio modo hunc explicare conati sunt (Schoemann, Reiske, qui addit πίστει post μαρτύρων, alii) sed iis non contigit efficere ut dilucide intelligatur.

Ceterum quod ad ἀκοὴν μαρτυρεῖν, vid. Dem. in Leoch. 55; in Steph. B. 7 et 8, contra Eubul. 4 et 34.

In Isaei Or. VI 53 leguntur haec: οἷς μὲν γάρ τις

παρεγένετο, δίκαιον, ὦ ἄνδρες, μαρτυρεῖν, οἷς δὲ μὴ παρεγένετο ἀλλ' ἤκουσέ τινος, ἀκοὴν μαρτυρεῖν.

§ 7. Iure v. Herwerden eiicit nomen iudicibus probe notum Cironis.

Ἔγημε τὴν ἐμὴν τήθην οὖσαν ἀνεψιάν.

Cognatorum matrimonium saepissime occurrit apud Athenienses, quia et rem familiarem et sanguinem generi communem servare volebant purum et intactum. Vid. Dem. in Macart. 73 sq. Actor probare vult se inprimis operam dedisse ὅπως μὴ ἐξερημωθήσεται ὁ οἶκος ὁ Ἁγνίου (de cuius hereditate litigatur) et post alia ita pergit: τὴν θυγατέρ' ἔδωκα οὐδαμόσε ἔξω, ἀλλὰ τῷ ἀδελφιδῷ τῷ ἐμαυτοῦ, ὅπως, ἐὰν ὑγιαίνωσι, καὶ οἱ ἐκ τούτων ἐκ τοῦ αὐτοῦ γένους ὦσιν Ἁγνίᾳ. Cf. Lys. c. Diag. 4. al.

§ 8. Χολαργεῖ. Ar. Acharn. Schol. ad vs. 855: Δῆμος Ἀττικῆς οἱ Χολαργεῖς τῆς Ἀκαμαντίδος φυλῆς.

§ 12. Βάσανον ἀκριβέστατον ἔλεγχον.

Ant., de chor. 25 leguntur haec: Ἐπίστασθε δ', ὦ ἄνδρες, ὅτι αἱ ἀνάγκαι αὗται (scil. βάσανοι) ἰσχυρόταται καὶ μέγισταί εἰσι τῶν ἐν ἀνθρώποις, καὶ ἔλεγχοι ἐκ τούτων (scil. ἐκ τῶν δερμάτων τῶν δούλων) σαφέστατοι καὶ πιστότατοι περὶ τοῦ δικαίου, ὅπου εἶεν μὲν ἐλεύθεροι πολλοὶ οἱ συνειδότες, εἶεν δὲ δοῦλοι, καὶ ἐξείη μὲν τοὺς ἐλευθέρους ὅρκοις καὶ πίστεσιν ἀναγκάζειν, ἃ τοῖς ἐλευθέροις μέγιστα καὶ περὶ πλείστου ἐστὶν, ἐξείη δὲ τοὺς δούλους ἑτέραις ἀνάγκαις, ὑφ' ὧν κἂν μέλλωσιν

ἀποθανεῖσθαι, κατειπόντες, ὅμως ἀναγκάζονται τἀληθῆ λέγειν· ἡ γὰρ παροῦσα ἀναγκὴ ἑκάστῳ ἰσχυροτέρα ἐστὶ τῆς μελλούσης ἔσεσθαι κ. τ. ἑ. Cf. *Ant.* de caede Her. 31 sq.

Dem. XXX. 37, fere iisdem verbis de eadem re utitur ac Isaeus, qui a nonnullis dictus est scripsisse Demostheni orationes tutelares (vid. Lib. vit. Dem.). Hunc locum liceat transcribere. Ὑμεῖς τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκριβεστάτην πασῶν πίστεων νομίζετε, καὶ ὁπόταν (ὅπου ἂν S.) δοῦλοι καὶ ἐλεύθεροι παραγένωνται, δέῃ δ' εὑρεθῆναι τὸ ζητούμενον, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες οὕτω ζητεῖτε τὴν ἀλήθειαν εὑρεῖν, εἰκότως, ὦ ἄνδρες δικασταί. τῶν μὲν γὰρ μαρτυρησάντων ἤδη τινὲς οὐ τἀληθῆ μαρτυρῆσαι ἔδοξαν· τῶν δὲ βασανισθέντων οὐδένες πώποτ' ἐξελέγχθησαν, ὡς οὐκ ἀληθῆ [τὰ] ἐκ τῆς βασάνου εἶπον. (Legas εἰπόντες et deleas τά).

Conf. or. contra Aphobum Demosthenis cum nostra, praesertim XXIX. 36, 37.

§ 13. Τούτους δὲ φεύγοντας...

Aut locus corruptus est aut nonnulla exciderunt. Rsk. implet lacunam legendo οὕτως ἀκριβεῖς ἐλέγχους ἐπιδείξαντες quae in textum recipere dubites. S scribes cum aliis τούτου δὲ φεύγοντος, non multum profeceris. Herw. (Mnem. Vol. IV) nihil dicit de hoc loco, nisi quod legendum putat οἰόμεθα non

οἰκησόμεθα. Fortasse plura exciderunt quibus expli carentur testimonia sequentia.

§ 14. Legendum videtur Τίνας (μὲν) εἰκὸς et τίνας (δ') εἰδέναι.

§ 15. Οἷα γὰρ εἰκὸς παίδων υἱέων...

Rsk. legendum putat πάππον ὄντα ποιεῖν vel tale aliquid, Sauppe, υἱέων ὄντων. Etiam legitur πάππου (Ald.) Scripsi πάππον. De re vid. Isae. de Cleon. her. § 31; de Astyp. her. 30. Hoc loco legimus: Εἰς τοίνυν τὰ ἱερὰ ὁ πατὴρ ὁ ἐμὸς τὸν Ἀστύφιλον παῖδα ἦγε μεθ' ἑαυτοῦ ὥσπερ καὶ ἐμὲ πανταχῆ· καὶ εἰς τοὺς θιάσους τοὺς Ἡρακλέους ἐκεῖνον εἰσήγαγεν ἵνα μετέχοι τῆς κοινωνίας. αὐτοὶ δ' ὑμῖν οἱ θιασῶται μαρτυρήσουσιν.

Διονύσια, τὰ κατ' ἀγρούς, τὰ μικρά. Vid. Preller, Gr. myth. I p. 527. Cf. Ar. Acharn. vs. 238. Mense Poseideone celebrabantur ruri.

§ 16. Τῷ Διὶ Κτησίῳ.

Ὁ Ζεὺς ὁ Κτήσιος dat hominibus ὑγίειαν καὶ κτῆσιν ἀγαθήν. Signum eius in cella penaria, ἐν τῷ ταμιείῳ, collocari solere refert Harpocration in voce Κτησίου. Vid. Preller, Gr. Myth. I p. 114.

§ 17. Λοιποὺς καταλελειμμένους.

Pleonasmus esse videtur. Unum vel alterum tamen non eieci quum non videam qua ratione hoc vel illud in textum receptum sit. Herw., sequens Dobree delet alteram vocem; Schoemann, quem non sequor, hoc dictum esse contendit ἐκ παραλλήλου et

citat Luc. vit. auct. c. 27, τίς λοιπὸς ἡμῖν καταλείπεται, locum conferens Plauti.

Buermannus scripsit (τὰ) περιφανεστατα. Qua ratione ductus, nescio.

§ 18. Γάμους εἱστίασε.

De epulo nuptiali in domo paterna vid. Hom. Od. IV, 3 sq., in domo mariti Il. XIX 299.

Γαμηλίαν εἰσήνεγκε.

Did. apud Harp.: τὴν εἰς τοὺς φράτερας εἰσαγωγὴν τῶν γυναικῶν. Cf. Dem. LVII, 43. 69. Isae. de Pyr. her. 79.

§ 19. Θεσμοφόρια.

Sine articulo scribendum videtur. Isae. III, 80, legimus haec: Εἰ ἦν γεγαμηκὼς, ἠναγκάζετο ἂν. (quia dives erat) ὑπὲρ τῆς γαμετῆς γυναικὸς.... Θεσμοφόρια ἑστιᾶν τὰς γυναῖκας. De Thesmophoriis vid. Schoemann, Gr. Alth. II 460 sq., Preller, Gr. Myth. I. 607 sq. II. 50, J. Bekker, ad Arist. Thesm. Vol. IV. p. 253 sq.

§ 20. Ἂν posui post εἰσδέχεσθαι suad. Herw.

§ 21. De iure quod est heredibus sepeliendi vid. Isae. de Nic. her. § 19; de Ast. her. § 4 et § 42; Dem. c. Mac. 65; c. Leoch. 32. Isoc. Aeg. § 33. Interdum igitur corpus defuncti ex heredis domo efferebatur, ut h. l. videmus.

Κομίζειν οἷος ἦν. Paratus eram ad corpus transferendum.

§ 22. De sepulturis vid. Becker, Charikles, III. p. 83 (Ed. Hermann).

§ 23. Ἀρραβών — ἡ ἐπὶ ταῖς ὠναῖς παρὰ τῶν ὠνουμένων δεδομένη προκαταβολὴ ὑπὲρ ἀσφαλείας. Cf. vox Gallica arrhes.

Καὶ ταῦτα Διοκλῆς.... συστῆσαι τοὺς λαβόντας.

Haec fere sententia est: Quae postquam Diocles audivit, nihil oblocutus est, sed dicens se emisse soluta pecunia nonnullas res funeris ergo, pro aliis vero arrham dedisse, a me petiit ut pretium sibi redderem, et sponsionem fecit, ita ut pretium rerum emtarum recuperaret, et quibus dicebat se arrham dedisse, eos adduceret ad me.

Συστῆσαι. Cf. Dem. in Spud., 5: τὸν Λεωκράτην συνέστησε eodem sensu ac hoc loco et al..

§ 25. Ἐξ ὧν.... ἀναλωμάτων.

Heredes vulgo de suo erogabant in funus. Ipse tamen mortuus suis silicernium parare ducebatur.

§ 26. Scripsi κωλύειν μὲ συνθάπτειν.

§ 28. Πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε .... ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνύς; cf. Dem. c. Aph. I. 55; fere iisdem vocibus utitur.

§ 29. Τῶν μὲν παλαιῶν ἀκοὴν μαρτ. παρ.

Locus corruptus esse videtur. Rsk. legere vult τοὺς ἀκοὴν μαρτυροῦντας περὶ πάντων τούτους (vel τούτων).

Plato. Conv. 221 d. „οὔτε τῶν νῦν οὔτε τῶν

παλαιῶν." unde efficitur τοὺς παλαιοὺς esse eos qui antea vixerunt. Eodem modo Dem. 319 i. f. et al..

Vid. tamen etiam Isoc. XIX. 18. Ibi τὰ παλαιά sunt res antea gestae.

§ 31. Ὁπότε ἐπὶ δίετες ἥβησαν.

Vid. K. F. Hermann's Lehrbuch der Griech. Ant. II B. 1e Abth. von Thalheim. p. 10 n. 2.

*Isae. de Arist. her.*, (X) 12: Καὶ μὲν δή, ὦ ἄνδρες, οὐδὲ Ἀριστομένει γε οὐδὲ Ἀπολλοδώρῳ, οἷς προσῆκε τῆς ἐμῆς μητρὸς ἐπιδικάσασθαι, οὐδὲ τούτοις ἐξῆν. θαυμαστὸν γὰρ ἂν ἦν, εἰ τὴν ἐμὴν μητέρα ἔχοντι Ἀπολλοδώρῳ ἢ Ἀριστομένει οὐκ ἂν οἷόν τε ἦν τῶν ἐκείνης κυρίῳ γενέσθαι, κατὰ τὸν νόμον ὃς οὐκ ἐᾷ τῶν τῆς ἐπικλήρου κύριον εἶναι, ἀλλ' ἢ τοὺς παῖδας ἐπὶ δίετες ἡβήσαντας κρατεῖν τῶν χρημάτων, ἀλλ' ἑτέρῳ αὐτὴν ἐκδόντι ἐξέσται εἰς τὰ ταύτης χρήματα υἱὸν εἰσποιῆσαι. δεινὰ μέντ' ἂν γίγνοιτο. Vid. Dem. vel potius Pseudo Dem. in Steph. B 20 quo loco legitur:

Νόμος.

[Καί ἐὰν ἐξ ἐπικλήρου τις γένηται, καὶ ἅμα ἡβήσῃ ἐπὶ δίετες, κρατεῖν τῶν χρημάτων, τὸν δὲ σῖτον μετρεῖν τῇ μητρί]

Οὐκοῦν ὁ μὲν νόμος κελεύει τοὺς παῖδας ἡβήσαντας κυρίους τῆς μητρὸς εἶναι, τὸν δὲ σῖτον μετρεῖν τῇ μητρί. Cf. Isae., de Cleon. her. (I) 39: Καὶ εἰ μὲν Πολύαρχος ὁ πατὴρ ὁ Κλεωνύμου, πάππος δ' ἡμέτερος, ζῶν ἐτύγχανε καὶ τῶν ἐπιτηδείων ἐνδεὴς ὤν, ἢ Κλεώνυμος ἐτελεύτησε θυγατέρας ἀπορουμένας καταλιπών, ἡμεῖς ἂν

διὰ τὴν ἀγχιστείαν καὶ τὸν πάππον γηροτροφεῖν ἠναγκαζόμεθα καὶ τὰς Κλεωνύμου θυγατέρας ἢ λαβεῖν αὐτοὶ γυναῖκας ἢ προῖκα ἐπιδιδόντες ἑτέροις ἐκδιδόναι, καὶ ταῦθ' ἡμᾶς καὶ ἡ συγγένεια καὶ οἱ νόμοι καὶ ἡ παρ' ὑμῶν αἰσχύνη ποιεῖν ἠνάγκαζεν ἄν, ἢ ταῖς μεγίσταις ζημίαις καὶ τοῖς ἐσχάτοις ὀνείδεσι περιπεσεῖν· εἰ δ' οὐσία κατελείφθη, δίκαιον ἡγήσεσθ' εἶναι ταύτης ἑτέρους ἡμῶν μᾶλλον κληρονομεῖν;

§ 32. Περὶ τῆς κακώσεως νόμου vid. Meier u. Schoemann, der Att. Proc. III. 288.

Κάκωσις huiusce generis exsistit ἐάν τις τοὺς γονέας μὴ θεραπεύῃ et etiam ἐάν τις τῶν γονέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ (Xen. Ἀπομν. II. 2. 15).

§ 33. Πρὸς ἕνα δὲ τὸν πρῶτον τῶν συγγενῶν προσάξω, καὶ τοῦ γένους καθ' ἕκαστον ὑμᾶς ἐρωτήσω.

Οἱ συγγενεῖς, nomen generale, opponuntur τοῖς μηδὲν προσήκουσιν. Vid. Isoc. XIX. 48. De loco cf. Dem. in Mac. 22

At quid significant illa? Vix credo Reiskii vel Schoemanni explicationes hodie persuadere posse cuipiam. Alii alia inserunt.

Si locus sanus est, quod non credo, ita fortasse explicari potest:

Praeterea (πρὸς δὲ) principem cognatorum in scenam producam et de genere singula vos interrogabo. Ille vero primus cognatorum est ipse Ciron.

Dobree de hoc loco ita: „Hoc liquet sensum esse, I shall compare the συγγενεῖς and the ἔκγονοι, one by one.

Προσάξω. Cf. Dem. de cor. 28. Εἰ δὲ βουλεύων ἐγὼ προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν, τοῦτό μου διαβάλλει.

Ἀνεπίδικον.

Sunt ἀνεπίδικα, ὅσα τις κατέχει τοῦ τετελευτηκότος ὡς πατρῷα καὶ παππῷα. Bekker, Anecd. p. 183. Isae. III. 59. Οἱ πολῖται ἀνεπίδικα ἔχουσι τὰ ἑαυτῶν ἕκαστοι πατρῷα.

§ 34. Ταῦτα πάντα. Etiam legitur ταῦτα, τἆλλα, πάντα, ταῦτ' ἤδη.

§ 35. Οὐσίαν. Herw. (Mnem 1881. p. 393) addit πολλὴν aut tale aliquid.

Φλύα fuit demus phylae Cecropidis. Post μισθοφοροῦντα numerus excidisse videtur.

Quale sit discrimen inter θεραπαίναν et παιδίσκην non satis constat. Dobree: παιδίσκην meretricem, ut videtur.

§ 36. Uxor Cironis erat Dioclis soror. Posui ἀεὶ ante φάσκουσαν et ἐλπίζων ἀεί mutavi in ἐλπίζων ἔτι, denique delevi ἀεὶ, quod legitur post διέβαλλεν. Διαφθείρειν i. e. abortum pati.

§ 37. Herw. emendavit τοὺς τόκους. Reisk. inseruit πράττεσθαί, Buerm. indicavit lacunam.

Δι' ἑαυτοῦ ποιεῖσθαι.

Isae. de her. Philoct. 35. Ὁρῶντες γὰρ τὸν Εὐ-

κτήμονα κομιδῇ ἀπειρηκότα ὑπὸ γήρως καὶ οὐδὲ τῆς κλίνης ἀνίστασθαι δυνάμενον, ἐσκόπουν ὅπως καὶ τελευτήσαντος ἐκείνου δι' αὐτῶν ἔσοιτο ἡ οὐσία.

Dem. LI, 22. Καὶ γάρ τοι πάντα δι' αὐτῶν ποιοῦνται (οἱ ἐπὶ μισθῷ λέγοντες), καὶ μόνον οὐχ ὑπὸ κήρυκος πωλοῦσι τὰ κοινά.

§ 38. Ὑποπαρωθῶν,, clam detrudens me de meo iure.

Sequens Herw. scripsi καίπερ οὐδὲν. Cum eodem malim συνεποίουν δὲ πάντα.

§ 39. Τὸν ἐξηγητήν, unum de interpretibus religionum.

Cic. de leg. II 27. „Sed videamus Platonem, qui iusta funerum reiicit ad interpretes religionum.

Schol. in Plat. leg. 237. Ἐξηγηταὶ τρεῖς γίγνονται Πυθόχρηστοι, οἷς μέλει καθαίρειν τοὺς ἄγει τινὶ ἐνσχεθέντας καὶ οἱ ἐξηγούμενοι τὰ πάτρια.

Vid. Tim. Λ. Π. ed. Ruhnk., qui accurate de iis agit, et Schoem. Gr. A. I, p. 444, II p. 295, 416. Vid. in primis (pseudo) Dem. XLVII, 68 sqq.

Τὰ ἔνατα. Inferiae nono post sepulturam die latae. Cf. Isae. de Menecl. her. § 36. § 46.

Ἐπιφέρειν est vox propria de sacrificiis et inferiis faciendis.

Ἱεροσυλίαν actor vocat adversariorum facinus, quia eum privare studuerant suo iure sacro efferendi avum. Blass, Die Att. Ber. I 2 p. 47, expli-

cat: ein Entziehen der dem Todten gebührenden Ehren.

Ἐκκόπτειν. Cf. Lys. in Ergocl. 6 „Ἵν' αὐτῶν ἐκκόψης" ἔφη „τὰς συκοφαντίας."

Din. in Dem. p. 79. Τὰς προφάσεις καὶ τοὺς φενακισμοὺς ἐκκόψατε αὐτοῦ. Belgice: uit de handen slaan. Seq. Herw. scripsi ἐγὼ δὲ μηδέν, vulgo οὐδέν.

§ 40. Αὑτὸν τῷ πατρὶ αὐτῶν εἰσποιήσας.

Schoem. ita de hoc loco agit: filium se illarum patri, vitrico suo, ipse instituens, supposito scil. testamento, qnod nullum ab illo scriptum erat. Et nisi magnopere fallor, ne poterat quidem per leges certe a vitrico adoptari. Vetabat enim lex, si filiae essent ἐπίκληροι, ne quis adoptaretur, nisi ita, ut unam ex his uxorem duceret. Is. de Pyrrhi her. 42. Οὔτε γὰρ διαθέσθαι οὔτε δοῦναι οὐδενὶ οὐδὲν ἔξεστι τῶν ἑαυτοῦ ἄνευ τῶν θυγατέρων, ἐάν τις καταλιπὼν γνησίας τελευτᾷ. Soror autem ὁμομήτριος duci a fratre non potuit. Perfecit igitur illud non solum contra defuncti voluntatem, sed etiam contra leges, bonaque patris adoptivi occupavit; quae quum reddi filiarum mariti uxoribus suis ex iure postularent, tractati sunt a Diocle ad eum modum quem statim actor exponit."

§ 41. Κατοικοδομήσας καὶ ἐπιβουλεύσας ἠτίμωσε κ.τ.ἑ.

Variis modis locus hic obscurus explicatur. Reisk. vertit: „ita machinationibus irretivit ut infamia

notaretur." At quare Diocles hoc facto actione ὕβρεως exagitari potuit? Meierus cogitavit de stupro de qua explicatione agens Schoem. tum scribendum esse ἠτίμασεν contendit. Herw. vocat. locum funditus corruptum, putans tamen sub HTIMΩCЄ latere posse ἐπήρωσε vel ᾐκίσατο.

Explicatio Harpocrationis vocis κατῳκοδόμησεν referenda est ad aliam orationem Isaei contra Dioclem habitam (vid. § 44 et fragm. IV et V) Harp. enim haec: κατῳκοδόμησεν ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα καὶ ἀπέκτεινεν. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους πολλάκις.

§ 42. Φελλέα. Harp. τὰ πετρώδη καὶ αἰγίβοτα χωρία Φελλέας ἐκάλουν. Cf. Schol. ad Ar. Ach. V, 273. Xen. Cyncg. V. 18.

§ 43. Μετ' Εὐκλείδην γὰρ ἄρχοντα γεγόναμεν. Lex lata vel potius restituta est a° 403 ab Aristophonte, qua illi qui post annum archontis Euclidis nascerentur e peregrina, excluderentur civitate. Vid. Dem. in Eub. § 30. Τοῖς χρόνοις τοίνυν οὕτω φαίνεται γεγονὼς ὥστ', εἰ καὶ κατὰ θάτερ' ἀστὸς ἦν, εἶναι πολίτην προσήκειν αὐτόν· γέγονε γὰρ πρὸ Εὐκλείδου. Vid. Schoem. G. A., I. p. 370.

## CORRIGENDA.

p. 28, 15 Ἡμεῖς legas Ἡμεῖς
p. 47 Λιμὸς „ Λιμὸς.
p. 55 S „ Si
p. 60, 33. Relegenti locum mihi displicet versio: Praeterea cet.

...NK & ZOON hebben o. a. verder uitgegeven

## PRAESERTIM IN USUM SCHOLARUM:

**Thucydides**. Recognovit et brevi annotatione instruxit H. van Herwerden. Volumen Primum continens lib. I. *f* 0.90

Idem. Volumen Secundum continens lib. II et III. *f* 1.25

Idem. Volumen Tertium continens lib. IV et V. *f* 1.40

Idem. Volumen Quartum continens lib. VI et VII. *f* 1.40

Idem. Volumen Quintum continens lib. VIII et indicem rerum. *f* 1.40

**Antiphontis orationes tres**. Ed. H. van Herwerden. *f* 0.90

**Herodoti historiarum libri IX**. Ed. H. van Herwerden. Volumen primum continens libros I et II. *f* 2.50

Idem. Volumen secundum continens libros III, IV et V. *f* 2.25

**Kan** en **Schröder,** Latijnsch-Nederlandsch Woordenboek. Tweede, zeer herziene en vermeerderde uitgaaf. Ing. *f* 6.—

In stevigen band. *f* 6.50

**Isocratis Aegineticus (XIX), et Isaei oratio de Cironis hereditate (VIII).** Ed. H. J. Nassau Noordewier. *f* 0.60